τως τὸ ὑπὸ τῶν ἄκρων πρὸς ἄλληλα πολυπλασιαζομέ-

---

1. κατὰ τὴν μον. om. SH μονάδαν P — τὰ ξδ C — 2. ἑξκαιδ. mG_2 — 3. ἀντιδιαστολῆς] ἀντὶ G_2 ex altero ἄνευ corr., διαστολῆς SH — 4. ή] om. G_1 ὀκτώ add. G_2 — συντιθεμέναις C — 5. σωρηδ G_1 ὸν G_2 — ἴσας C — εἶναι] ἑνὶ P ἑνὶ $H\Gamma$, qui post μονάδα add. γίνεσθαι — 6. ὁποσονοῦν G_2 ὁποσωνοῦν S ὁποσοῦν C — 7. ἐστι] ἔσται SH — μονάδ G_1 -α G_2 — χρησιμεύσῃ P — εὐὴι CSH — 9. γνῶσις C — 11. τῶ [τῶν] σνς G τῶν ͱνς P — αὐτοῦ] πάντες add. CSH — ἄχρι H — εἰσὶ om. S — 12. μίαν om. S — 13 ὑπ'] μετ' H — πάντες] μέχρι μονάδος add. H — 14. καὶ ἐν τοῖς H — 18. σὺν τρεὶς $P(G_1?)$ — 20 ἄρτιαι G_2S — 21. προκεχειρ. om. S — ἀρτίου] ἀριθμοῦ add. H

νων συντελούμενον ἶσον ἔσται τῷ ὑπὸ τῶν μέσων πρὸς ἄλληλα, ἐὰν δὲ περισσαί, τὸ ὑπὸ τῶν ἄκρων ἶσον τῷ ἀπὸ τοῦ μέσου πρὸς ἑαυτό· ἅπαξ γὰρ ρκη ἐν ἀρτίαις ἐκθέσεσιν ἶσόν ἐστι τῷ ὀκτάκις ις καὶ ἔτι τῷ δὶς ξδ καὶ πάλιν τῷ τετράκις λβ καὶ τοῦτο δι' ὅλου· ἐν δὲ περισσαῖς ἐκθέσεσιν ἶσον τὸ ἅπαξ ξδ τῷ δὶς λβ καὶ τοῦτο τῷ τετράκις ις καὶ τοῦτο πάλιν τῷ ὀκτάκις η μόνου μέσου πρὸς ἑαυτὸν πολλαπλασιαζομένου.

ϑ. Ἀρτιοπέριττος δέ ἐστιν ἀριθμὸς ὁ τῷ γένει IX
καὶ αὐτὸς ἄρτιος ὤν, ἀντιδιαστελλόμενος δὲ ἰδικῶς τῷ προφρασθέντι ἀρτιάκις ἀρτίῳ, ὁ τὴν μὲν εἰς δύο ἶσα διαίρεσιν ἐπιδεχόμενος κατὰ τὸ κοινὸν γένος, τῶν μέντοι μερῶν ἑκάτερον εὐθὺς εἰς δύο ἶσα ἄτμητον ἔχων, οἷον

P

ὁ ς, ὁ ι, ὁ ιδ, ὁ ιη, ἡ κβ, ὁ κς,

οἱ ὅμοιοι· μετὰ γὰρ τὸ διχασθῆναι ἕκαστον τούτων ἀδίχαστα εὐθὺς τὰ μέρη εὑρίσκεται. συμβέβηκε δὲ 2
αὐτῷ πᾶν, ὃ ἐὰν εὑρεθῇ μέρος ἔχων, ἐναντιώνυμον τῇ δυνάμει εἶναι καὶ πᾶσαν μέρους ποσότητα ἐναντιοδύναμον τῷ ὀνόματι, μηδέποτε δὲ μηδενὶ τρόπῳ

IX. Io. Phil. οϑ—πη. — Iambl. p. 29—31. — Theon. 9. — Boëth. I. 7. — Schol. *ΝΓ* Nobb. p. 6.

---

1. ἔστι *S* — ὑπὸ] ἀπὸ *P* — 3. ὁ ρκη *PC* — ἐν ἀρτ.] ἐναντίαις *H* — 4. ἴσος *PC* — 7. πάλιν om. *H* — 8. μόνου *G* μόνου τοῦ ceteri — ἑαυτὸ μ — πολλαπλασιαζ. *P*, ante μόνου G_2, πολυπλ. *HΓ*, om. G_1*mCμS*

IX. Περὶ ἀρτιοπερίσσου *mCμHΓ* Περὶ τοῦ ἀρτιοπ. *S* — 10. εἰδικῶς *CSH* — 13. ἑκάτερον G_2 [α?] — εὐθὺς om. *S* — 15. ὁ ς, ὁ ι om. *H* — 16. καὶ οἱ ὅμ. *CH* — 17. εὑρεθήσεται *H* (εὑρίσκ. in mrg.) — 18. ἂν *CSH* — ἔχον *Gm* — 19. εἶναι om. *H* — πᾶσαν μέρ. *mCS* πᾶσαν τὴν τοῦ μ. *G* πᾶσαν τῆν τοῦ μ. *PH* — 20. δὲ om. *G*

ὁμογενῆ τὴν δύναμιν τοῦ μέρους τῷ αὐτῷ ὀνόματι
ὑπάρχειν· οἷον ἐφ' ἑνὸς τοῦ ιη τὸ μὲν ἥμισυ ἀρ-
τιακῶς ὠνομασμένον ὑπάρχει ϑ, περισσὸν τῇ δυνά-
μει, τὸ δὲ τρίτον ἔμπαλιν περισσῶς ὀνοματοπεποιη-
μένον ϛ ἄρτιον τῇ δυνάμει· τὸ δὲ ϛ^{ον} ἐξ ἀντιστρο-
φῆς γ καὶ τὸ ϑ^{ον} β, κἀπὶ τῶν ἑτέρων ὁ αὐτὸς
3 εὑρεθήσεται τρόπος. μήτοι δὲ ἄρα καὶ παρὰ τοῦτο
τοιαύτης προσηγορίας τέτευχεν, ὅτι ἄρτιος ὢν περισ-
4 σῶν τῶν ἡμισευμάτων εὐθὺς τετύχηκε. γεννᾶται
δὲ καὶ οὗτος τῶν ἀπὸ μονάδος δυάδι διαφερόντων,
ὅ ἐστι περισσῶν, εὐτάκτως ἐκτεθέντων, μέχρις οὗ
βούλει, δυάδι πολυπλασιασθέντων· οἱ γὰρ ἀποτε-
λούμενοι γένοιντο ἂν τάξει οὗτοι

ϛ, ι, ιδ, ιη, κβ, κϛ, λ,

καὶ μέχρις ἂν προχωρεῖν ἐθέλῃς· διαφέρουσι δὲ
ἀλλήλων τετράδι οἱ μείζονες ἀεὶ τῶν ἐγγὺς ἐλατ-
τόνων· αἴτιον δὲ τούτου, ὅτι οἱ ἐξ ἀρχῆς γνώμονες
αὐτῶν, τουτέστιν οἱ περισσοί, δυάδι ἀλλήλων ὑπερ-
5 φέροντες δυάδι ἐμηκύνθησαν, ἵνα οὗτοι γένωνται,
δυὰς δὲ δυάδα πολυπλασιάσασα τετράδα ποιεῖ. ἐν
οὖν τῷ φυσικῷ ὕφει τοῦ ἀριθμοῦ εὑρεθήσονται οἱ
ἀρτιοπέρισσοι πέμπτοι μὲν ἀπ' ἀλλήλων, τετράδι δὲ
ὑπερέχοντες, τρεῖς δὲ ὑπερβαίνοντες, δυάδι δὲ μη-

1. αὐτοῦ *S* ἑαυτοῦ *C* — 3. ὀνομασμ. *G* — τὸ δὲ ϑ περ. *S* ὁ δὲ ϑ περισσὸς *H* — 4. ὠνοματοπεποιημένον *G* — 5. δυνάμει *Gm* (*H* in mrg.) ὑποστάσει *PCSH* — ϛ G_1 ^{ον} G_2 — ἀντιστρόφου *mC* ἀναστρόφου *P* ἀναστροφῆς *S* — 6. ϑ G_1 ^{ον} G_2
τοι
— 7. μήτι ἄρα *S* — 12. διάδι *G* — πολλαπλασ. *CS* — 15. ἐθέλοις *C* θέλῃς *S* — 16. ἐγγὺς] μ add.: σχόλιον τινὸς ἀνωνύμου· ἀναγκαῖον κτλ. seq. Io. Phil. Schol. πδ. — 18. ὑπερέχοντες *C* — 19. ἐ///μικ///ύνθησαν G_1 ι in η mut. G_2 — γενῶνται *P* γεννῶνται *S* — 23. τρεῖς] τριάδι *PH* — δυάδι δὲ] δὲ om. *G*

κυνομένων τῶν περισσῶν γεννώμενοι. ἐναντιοπα- 6
θεῖν δὲ λέγονται τοῖς ἀρτιάκις ἀρτίοις, ὅτι τούτων
μὲν τὸ μέγιστον ἄκρον μόνον διαιρετόν, ἐκείνων δὲ
τὸ ἐλάχιστον μόνον ἦν ἀδιαίρετον· καὶ δὴ καί, ὅτι
ἐπ' ἐκείνων μὲν ἡ ἀντιπερίστασις τῶν μερῶν ἀπ'
ἀκροτήτων εἰς μεσότητα ἢ μεσόσητας ἀπετέλει τὸ
ὑπό¯ ἶσον τῷ ἀπό¯ ἢ τῷ ὑπό¯· τούτων δὲ κατὰ τὴν
αὐτὴν ἀμοιβὴν καὶ ἐξέτασιν ὑποδιπλάσιον τὸ μέσον
τῶν δύο ἄκρων συντεθέντων, ἢ εἰ δύο εἴη τὰ μέσα,
καὶ αὐτὰ ἶσα ἀμφότερα τοῖς δυσὶν ἄκροις.

ι. Περισσάρτιος δέ ἐστιν ἀριθμὸς ὁ τὸ τρίτον X
P εἶδος τοῦ ἀρτίου ἐμφαίνων, κοινὸς ὢν ἀμφοτέρων
14 τῶν εἰρημένων ὡςανεὶ δύο ἀκροτήτων μία τις ὢν
αὐτὸς μεσότης· ὅμοιος γὰρ κατὰ μέν τι τῷ ἀρτιάκις
ἀρτίῳ ὑπάρχει, κατὰ δέ τι τῷ ἀρτιοπερίσσῳ, καὶ ᾧ
μὲν τοῦ ἑτέρου ἀπήλλακται, τούτῳ κοινωνεῖ τῷ
λοιπῷ, ᾧ δὲ κοινόν τι ἔχει πρὸς ἕτερον, τούτῳ δια-
φέρει τοῦ λοιποῦ. ἔστι δέ, ὅταν ἀριθμὸς ἄρτιος 2

X. Io. Phil. πϑ—ϟε. — Iambl. p. 31—35. — Theon. 10. — Boëth. I. 8. — Schol. *ΝΓ* Nobb. p. 6. 7.

1. γενόμενοι *C* (γεννώμ. in mrg.) *procreati* Boëth. — 2. ἀρτιάκοις ἀρτ. *GP* — 4. ἦν om. *SH* — 6.7. τοῖς ὑπό¯ ἢ τῷ ἀπό¯ G_2 τῷ ὑπὸ ἢ ἀπὸ *C* τὸ ἀπὸ ἶσον τῷ ἀπὸ τῷ μείζῳ ἢ τοῖς ὑπὸ τοῦ μέσου *P*, in mrg. †. intellegendum τὸ ὑπὸ τῶν ἀκροτήτων ἶσον τῷ ἀπὸ τῆς μεσότητος ἢ τῷ ὑπὸ τῶν μεσοτήτων — 7. τούτων] ἐπὶ praemitt. G_2H ἐπὶ τῶν ἀρτιοπερίσσων add. *S* — 8. ἀντεξέτασιν G_2CH καὶ κατ' ἐξέτασιν *S* — 9. εἰ om. G_1m — ἢ καὶ δύο εἰσί *P* — 10. δύο *H*

X. Περὶ περισσαρτίου codd. tit. om. *P* — 12. ὢν om. *CSH* — 13. προειρημένων *SH* — 15. ὑπάρχει om. *H* — 16. ἀπήλλακται *P* — 17. ᾧ] ὃ *H* — τὸν ἕτερον *H* τὸ *C* — 18. λοιποῦ] ἑτέρου *SH*

*εἰς δύο ἴσα διαιρεθῆναι δυνάμενος διαιρούμενα ὁμοίως
τὰ ἑαυτοῦ μέρη ἔχῃ, ἔστι δ' ὅτε καὶ τῶν μερῶν τὰ
μέρη, μέχρι μέντοι μονάδος μὴ δυνάμενος τὴν τῶν
μερῶν λύσιν ἀγαγεῖν· οἷός ἐστιν*

ὁ κδ, ὁ κη, ὁ μ·

*ἥμισυ μὲν γὰρ ἕκαστος τούτων ἴδιον ἔχει καὶ πάν-
τως ἡμίσους ἥμισυ· ἔστι δ' ὅτε ἐν αὐτοῖς τις εὑρί-
σκεται καὶ ἐπὶ πλέον τὸν διχασμὸν ἐπιδεχόμενος εἰς
τὰ μέρη, οὐδεὶς μέντοι τὸ παράπαν μέχρι τῆς φύσει*
3 *ἀτόμου μονάδος τὰ μέρη μεριστὰ εἰς ἡμίση ἕξει. τῷ
μὲν οὖν πλείονας μιᾶς τομῆς ἐπιδέχεσθαι ὁμοιοῦται
μὲν τῷ ἀρτιάκις ἀρτίῳ, ἀφίσταται δὲ τοῦ ἀρτιο-
περίσσου, τῷ δὲ μὴ ἀπολήγειν ποτὲ εἰς μονάδα αὐ-
τοῦ τὰς τομὰς ὁμοιοῦται μὲν τῷ ἀρτιοπερίσσῳ, ἀφί-*
4 *σταται δὲ τοῦ ἀρτιάκις ἀρτίου. συμβέκηκε δ' αὐτῷ
μόνῳ ὑφ' ἓν τὰ ἑκατέρῳ ἐκείνων ἰδίως συμβεβηκότα
καὶ πάλιν ἃ μηδετέρῳ· καὶ γὰρ ἐκείνων ὁ μὲν τὸ
μέγιστον μόνον μέρος εἶχε τμητόν, ὁ δὲ τὸ μικρότα-
τον μόνον ἄτμητον, οὗτος δὲ οὐδέτερον· πλείονα
μὲν γὰρ τοῦ ἑνὸς τμήματα ἐν τῷ μείζονι μέρει ἔχων
ὁρᾶται, πλείονα δὲ τοῦ ἑνὸς ἄτμητα ἐν τῷ ἐλάττονι.*
5 *καὶ πάλιν ἐστὶν ἐν αὐτῷ τινα μὲν μέρη μὴ ἐναντιω-
νυμοῦντα ταῖς δυνάμεσι μηδ' ἑτερογενοῦντα πρὸς*

1. *διαιρούμενος P* — 2. *ἔχει P ἔχων C* — 2. 3. *ἔστι δ' . . . μέρη* om. *H* — 3. *ἄχρι H* — *μέντοι* om. G_1; tuetur Io.Phil. *ϟα* — 4. *λῦσιν G* — 5. *ὁ κδ*] *ὁ ιβ* praemittit *P* — *μ*] *μη PH* — 7. *ἐν αὐτοῖς*] *καὶ τῶν ἐν αὐτῷ H* — 8. *ἐπιδεχόμενον P* — 9. *φύσει* om. *H* — 10. *ἀτόμου* om. *S* — *ἥμισυ P* — 11. *τομὰς H τὰς τομὰς S* — 13. *μονάδας H* — 16. *μόνῳ* om. *C* — *ὑφ' ἓν ἔχειν τὰς ἑκ. ἐκείνῳ P* — 17. *ἃ*] *τὰ S* — *μηδετέρῳ*] *ἔχειν* add. G_2 — *καὶ γὰρ*] *ὅτι S* — 19. *οὗτος δὲ οὐδ.*] *τούτῳ δὲ οὐδέτερον τούτων ὑπάρχει P* id. *S*, om. *τούτων* — 20. *τμήματος P* — 20. 21. *ἐν τῷ μ. . . . ἄτμητα* om. $G_1 m P$ — 21. *ὁρᾶται*] *ὑπάρχει S* — 22. *ἐστὶν*] *πάντως* add. $G_2 CSH$

αὐτὰς κατ' εἰκόνα τοῦ ἀρτιάκις ἀρτίου, ἔνεστι δὲ
πάντως καὶ ἕτερα ἐναντιωνυμούμενα ἑτερογενῶς
ὑπὸ τῶν δυνάμεων κατ' εἰκόνα τοῦ ἀρτιοπερίσσου·
οἷον ἐν τῷ κδ οὐκ ἐναντιωνυμεῖ μὲν μέρη δυνάμεσι,
τέταρτον ς, ἥμισυ ιβ, ἕκτον δ, δωδέκατον β, ἐναν-
τιοπαθεῖ δὲ τρίτον η, ὄγδοον γ, εἰκοστοτέταρτον α·
καὶ ἐπὶ τῶν λοιπῶν παραπλησίως. γεννᾶται δὲ 6
οὗτος ἐφόδῳ τινὶ ποικιλωτέρᾳ σημαίνων τρόπον τινὰ
καὶ ἐν τῇ γενέσει αὐτοῦ, ὅτι μῖγμα ἀμφοτέρων ἐστίν·
ἐπειδὴ γὰρ ὁ μὲν ἀρτιάκις ἄρτιος ἐξ ἀρτίων ὑφί-
σταται τῶν ἀπὸ μονάδος διπλασίων ἐς ἀεί, ὁ δὲ ἀρ-
P τιοπέρισσος ἀπὸ περισσῶν τῶν ἀπὸ τριάδος προϊόν-
15 των ἐς ἀεί, ἀναγκαῖον τοῦτον ἐξ ἀμφοτέρων τῶν
γενῶν συνυφαίνεσθαι, ὡς κοινὸν ἀμφοτέρων. ἐκθώ- 7
μεθα δὴ τοὺς ἀπὸ τριάδος περιττοὺς ἰδίᾳ εὐτάκτως
ἐν ἑνὶ στίχῳ

γ, ε, ζ, θ, ια, ιγ, ιε, ιζ, ιθ

καὶ ἑφεξῆς, τοὺς δὲ ἀπὸ τετράδος ἀρτιάκις ἀρτίους
πάλιν ἑφεξῆς ἐν ἑτέρῳ στίχῳ κατὰ τὴν τάξιν τὴν
αὐτῶν

δ, η, ις, λβ, ξδ, ρκη, σνς

καὶ ἑφεξῆς, μέχρις οὗ βούλει. ἀπὸ ὁποτέρου δὴ 8
στίχου (ἀδιάφορον γάρ) τῷ πρώτῳ κειμένῳ ἀριθμῷ
πολυπλασίαζε ἐξ ἀρχῆς πάντας ἑξῆς τοὺς ἐν τῷ
λοιπῷ στίχῳ καὶ τοὺς ἀποτελουμένους σημειοῦ, εἶτα

2. καὶ G_2 in ras., καὶ ante ὑπὸ eras. G — 4. οὐκ om. G_1mP — μέρος Gm μέρει S — 6. ὄγδ. γ om. H — 7. παραπλησ.] ὁμοίως H — δὲ] καὶ add. P — 8. τινὶ om. H — 10. καὶ ἐξ P — ὑφίστατο mCH *nascebantur* Boëth. — 11. διπλασίον G — 13. ἐς om. m — 14. συνυφάνεσθαι G συνυφίστασθαι H — 17. ιθ] κα, κγ, κε, κζ add. H — 18. ἀρτίον P — 19. ἐν om. G — κατὰ τὴν ἑαυτῶν τάξιν CSH — 21. σκη, ͵ϡνς P φιβ add. CS φιβ, ͵ακδ ΗΓ — 24. πολλαπλ. S

πάλιν τοῦ αὐτοῦ στίχου τῷ δευτέρῳ ἀριθμῷ πολυπλασίαζε τοὺς αὐτοὺς ἄνωθεν, μέχρις οὗ ἔχεις, καὶ τοὺς γινομένους ἀπογράφου· εἶτα τῷ τρίτῳ πάλιν ἀριθμῷ τοὺς αὐτοὺς ἄνωθεν, καὶ μέχρις ἂν προχωρῇς, οὐδένες ἄλλοι σοι ἀπογεννήσονται πλὴν οἱ πε-
9 ρισσάρτιοι. χάριν δὲ ὑποδείγματος χρησώμεθα τῷ πρώτῳ ἀριθμῷ τοῦ στίχου τῶν περισσῶν καὶ πολυπλασιάσωμεν αὐτῷ τοὺς ἐν τῷ ἑτέρῳ στίχῳ τάξει πάντας,

τρὶς δ, τρὶς η, τρὶς ις, τρὶς λβ,

καὶ τοῦτο μέχρις ἀπείρου· ἔσονται γὰρ

ιβ, κδ, μη, ϟς,

οὓς δεῖ σημειώσασθαι ἐν ἑνὶ στίχῳ· εἶτα ἀπ' ἄλλης ἀρχῆς πάλιν τῷ δευτέρῳ ἀριθμῷ τὸ αὐτὸ ποίει,

πεντάκις δ, πεντάκις η, πεντάκις ις, πεντάκις λβ·

ἀποτελεσθήσονται γὰρ οἵδε

κ, μ, π, ρξ·

εἶτα πάλιν τῷ τρίτῳ ἀριθμῷ τῷ ζ τὸ αὐτὸ ποίει,

ἑπτάκις δ, ἑπτάκις η, ἑπτάκις ις, ἑπτάκις λβ·

οἱ γὰρ γινόμενοί εἰσιν

κη, νς, ριβ, σκδ,

καὶ κατὰ τὰ αὐτά, μέχρις οὗ βούλει, προχωρεῖν συμφωνήσει σοι·

---

2. αὐτοὺς om. *H* — 2—4. μέχρις . . . ἄνωθεν om. *P* — 2. οὗ ἔχεις] ὅτου ἔχεις *C* ὅτου ἔχῃς *H* — 2. 3. καὶ τοὺς γεννωμένους ἀπογρ. post ἄνωθεν *H* — 3. πάλιν om. *H* — 4. προχωρῇς *S* -ῇ ceteri. — 5. ἀπογενήσονται *GP* — 6. χρησόμεθα *H* — 7. στίχου] τοῦ add. *S* — πολυπλασιάσομεν *H* — 13. δεῖ] δὴ *H* — ἔν τινι στίχῳ *S* — 14. ποιεῖν *CSH* — 18. τρίτῳ om *P* — ποιήσεις *CS* ποιεῖν *H* — 22. καὶ om. *P*

γ	ε	ζ	ϑ	ια	ιγ	ιε
δ	η	ις	λβ	ξδ	ρκη	σνς
ιβ	κδ	μη	͵ις	ρ͵ιβ	τπδ	ψξη
κ	μ	π	ρξ	τκ	χμ	͵ασπ
κη	νς	ριβ	σκδ	υμη	ω͵ις	͵αψ͵ιβ
λς	οβ	ρμδ	σπη	φος	͵αρνβ	͵βτδ
μδ	πη	ρος	τνβ	ψδ	͵ανη	͵βωις

(rows 1–2:) οἱ γνώμονες τοῦ περισσαρτίου.
(rows 3–7:) οἱ περισσάρτιοι.
(left:) πλάτος.
(below:) μῆκος.

ὅταν δὴ τοὺς ἐξ ἑκάστου πολυπλασιασμοὺς ἐν ἰδίῳ στίχῳ τάξῃς παραλλήλους ποιούμενος τοὺς στίχους, φανήσεταί σοι θαυμαστῶς κατὰ μὲν τὸ πλάτος συμβαῖνον τὸ τῶν ἀρτιοπερίσσων ἰδίωμα, ὅτι ἀεὶ τῶν ἄκρων ὁ μέσος ὑποδιπλάσιος, εἰ εἷς εἴη, εἰ δὲ δύο μέσοι, ἴσοι κατὰ σύνθεσιν· κατὰ δὲ τὸ μῆκος τὸ τῶν ἀρτιάκις ἀρτίων· τὸ γὰρ ὑπό‾ ἴσον τῷ ἀπό‾, εἰ μία εἴη μεσότης, ἢ τῷ ὑπό‾, εἰ δύο εἴησαν· ὥςτε τὰ ἀμφοτέρων ἰδιώματα τούτῳ μόνῳ συμβέβηκεν, ὡς ὄντι φυσικῷ μίγματι αὐτῶν. 10

XI

ια. Τοῦ δὲ περισσοῦ καὶ πάλιν καθ' ὑποδιαίρεσιν διακεκριμένου πρὸς τὸν ἄρτιον καὶ κατὰ μηδὲν

XI. Io. Phil. ϟς—ϟζ. — Iambl. p. 35—37. — Theon. 5. 6. — Boëth. I. 9. 10. — Schol. *ΝΓ* Nobb. p. 7.

1—8. Schema praebent *G*, *CμSΓ*, cf. Iambl. p. 35. — 9. *πολυπλασιασμοῦ PCSH* — 10. *τάξις m ἐκτάξῃς P ἐντάξῃς S* — *παραλλήλως PH* — 12. 13. *τοῖς ἄκροις ὁ μέσος διπλάσει P* — 13. *εἴη C ᾖ* cet. — 14. *ἴσοι] εἰσι κατὰ σύνθ. τοῖς δυσὶν ἄκροις H* — 16. *ἢ τοῖς ὑπὸ H* — *εἴησαν* om. *H* — *τὰ] τῶν* add. *H*

XI. *Περὶ τοῦ περισσοῦ GmH*, *Διαίρεσις τοῦ περιττοῦ N*, *Περὶ περισσοῦ ἀριθμοῦ Γ*, om. cet. — 19. *περ. ἀριθμοῦ πάλιν S* — *καθ' ὑποδ.* om. *H* — 20. *διακεκριμμένου P διακρινομένου C*

κοινωνοῦντος, εἴπερ ἐκεῖνος μὲν διχῇ εἰς ἴσα διαιρετός, οὗτος δὲ εἰς δύο ἴσα ἀδιαίρετος, τρία ὁμοίως P
εἴδη εὑρίσκεται ἀλλήλων διαφέροντα, ὧν τὸ μὲν κα- 16
λεῖται πρῶτον καὶ ἀσύνθετον, τὸ δὲ ἀντικείμενον τούτῳ δεύτερον καὶ σύνθετον, τὸ δὲ ἐν μεταιχμίῳ ἀμφοῖν τούτοιν θεωρούμενον ὡς μεσότης ἐν ἀκρότησιν, ὃ καθ' ἑαυτὸ μὲν δεύτερον καὶ σύνθετον, πρὸς ἄλλο δὲ πρῶτον καὶ ἀσύνθετον.

2 Τὸ μὲν οὖν πρώτιστον εἶδος τὸ πρῶτον καὶ ἀσύνθετον γίνεται, ὅταν ἀριθμὸς περισσὸς μόριον μηδὲν ἕτερον ἐπιδέχηται, εἰ μὴ τὸ παρώνυμον ἑαυτῷ, ὃ καὶ ἐξ ἀνάγκης μονὰς ἔσται, οἷον

ὁ γ, ὁ ε, ὁ ζ, ὁ ια, ὁ ιγ, ὁ ιζ, ὁ ιθ, ὁ κγ, ὁ κθ, ὁ λα·

τούτων δὲ ἕκαστος οὐδεμιᾷ μηχανῇ εὑρεθήσεται ἔχων ἑτερώνυμον μόριον, ἀλλὰ μόνον τὸ ἑαυτῷ παρώνυμον καὶ τοῦτο μονάδα πάντως ἐν ἑκάστῳ· ὁ μὲν γὰρ γ μόνον τρίτον [τὸ ἑαυτοῦ παρώνυμον καὶ τοῦτο πάντως μονάδα], ὁ δὲ ε μόνον πέμπτον καὶ ὁ ζ μόνον ἕβδομον καὶ ὁ ια μόνον ἑνδέκατον, καὶ ἐν
3 πᾶσι ταῦτα τὰ μέρη μονὰς ὑπάρχει. τέτευχε δὲ τοῦ ὀνόματος τούτου, ὅτι τῷ κοινῷ πάντων ἀριθμῷ καὶ

1. διαιρετός] ὁ ἄρτιος add. *H* — 2. οὗτος δὲ] πάντως add. *S* — ἀδιαίρ.] διαίρ. G_1 — 4. ἀντικείμενον] ἀντίθετον *S* — 7. ὃ om. *H*

XI. 2. *Περὶ πρώτου καὶ ἀσυνθέτου C* — 11. ἑαυτοῦ *SH* — 13. artic. abest a libr. Mon. — 14. δὲ] γὰρ G_2 in ras., *CSH* — 15. μόνον] μόριον Ast. — ἑαυτοῦ *SH* — 17. γὰρ om. *CS* — γ om. *P* — τὸ ἑαυτ. παρ. om. *C*, om. ἑαυτ. superscr. *S* — 17. 18. [τὸ . . . μονάδα] delenda censeo. — 18. πάντως om. *CS* — 18. 19. καὶ ὁ ζ μόν. ἕβδ. *C* sol. — 19. ἑνδέκατον] καὶ ὁ τριάκοντα, ἓν τριακοστὸν μόνον add. *P* καὶ ὁ λα τριακοστομόνον *SH* — 20. ταῦτα] πάντα add. *CS* — μονὰς] μόνα Ast, *haec (pars) unitas* Boëth. I. 10 — 21. ἀριθμῷ] μέτρῳ G_2CSH *nullus numerus metietur* Boëth. I. 10, cf. Io. Phil. 45

πρωτίστῳ μονάδι μόνῃ δύναται μετρεῖσθαι, ἑτέρῳ δὲ οὐδενί, ἀλλὰ καὶ ὑπ᾽ οὐδενὸς ἑτέρου ἀριθμοῦ ἑαυτῷ συντεθέντος γεγένηται, ἀλλὰ μόνης μονάδος, πεντάκις μὲν συντεθείσης ὁ ε, ἑπτάκις δὲ ὁ ζ, καὶ οἱ λοιποὶ κατὰ τὴν ἑαυτῶν ποσότητα· αὐτῶν μέντοι συντεθέντων ἑαυτοῖς δύναιντ᾽ ἂν ἄλλοι γενέσθαι ἀπὸ πηγῆς ὡςανεὶ καὶ ῥίζης αὐτῶν τούτων ἀρχόμενοι, διόπερ πρῶτοι καλοῦνται ὡςανεὶ ἀρχαὶ ἐκείνων προυποκείμενοι· ἀρχὴ δὲ πᾶσα στοιχειώδης καὶ ἀσύνθετος, εἰς ἣν πάντα ἀναλύεται καὶ ἐξ ἧς πάντα συνίσταται, αὐτὴ δὲ εἰς οὐδὲν καὶ ἐξ οὐδενός.

ιβ. Δεύτερος δὲ καὶ σύνθετός ἐστιν ἀριθμὸς XII
περισσὸς μὲν διὰ τὸ ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ γένους διακεκρίσθαι, ἀρχοειδὲς δὲ οὐδὲν ἔχων ἐν ἑαυτῷ· συντεθέντος γὰρ ἑτέρου τινὸς τὴν γένεσιν αὐτὸς ἔσχε· διόπερ συμβαίνει αὐτῷ πρὸς τῷ παρωνύμῳ μέρει ἔτι καὶ ἑτερώνυμον ἢ ἑτερώνυμα κεκτῆσθαι, τὸ μὲν παρώνυμον καθὰ καὶ ἐπὶ πάντων μονάδα εἶναι πάντως, τὸ δὲ ἑτερώνυμον ἢ ἑτερώνυμα οὐδέποτε μονάδα, ἀλλὰ πάντως ἢ ἐκεῖνον ἢ ἐκείνους, ὧν συντεθέντων ἀπετελέσθη, οἷον

Io. Phil. ϟη, ϟθ. — Iambl. p. 37, 38. — Theon. 7. — Boëth. I. 11.

---

2. *ὑπ᾽* om. *H* — *ἑτέρου* om. *P* — 3. *συντεθέντος*] *αὐτὸς* add. *SC* — *γένηται P* — 5. *ἑαυτῶν*] *αὐτῶν PC* — 6. *ἂν* om. *GP* — 9. *προυποκείμεναι PC* — 10. 11. *ἀναλύονται ... συνίστανται P ἐξ οὗ .. συνίστανται Gm* — 9—11. *στοιχειῶδες καὶ ἀσύνθετον, εἰς ὃ ... καὶ ἐξ οὗ ..., αὐτὸ SH*

XII. *Περὶ β^ου καὶ συνθέτου Cμ* — 12. *δὲ καὶ*] *καὶ* om. *G* — 16. *πρὸς* om. *P* — 17. *ἑτερώνυμα*] *μέρη* add. *μ* — 18. *καθὸ S* — 19. *εἶναι* om. *C* — 20. *ἢ ἐκεῖνο ἢ S πάντ. ἢ ἐκείνοις ὧν P*

ϑ, ιε, κα, κε, κζ, λγ, λε, λϑ· P

τούτων γὰρ ἕκαστος καὶ ὑπὸ μονάδος μετρεῖται ὡς 17 *οἱ ἕτεροι καὶ παρώνυμον ἔχει μέρος ὡς κἀκεῖνοι διὰ τὴν τοῦ κοινοῦ γένους φύσιν, ἐξηλλαγμένως δὲ καὶ ἰδιαίτερον ἔτι καὶ ἑτερωνύμῳ μέρει ἢ μέρεσι· χρῆται, ὁ μὲν ϑ πρὸς τῷ ἐνάτῳ ἔτι καὶ τρίτῳ, ὁ δὲ ιε ἔτι καὶ τρίτῳ καὶ πέμπτῳ πρὸς τῷ ιε^ῳ, ὁ δὲ κα καὶ ἑβδόμῳ καὶ τρίτῳ πρὸς τῷ εἰκοστοπρώτῳ, ὁ δὲ κε πρὸς τῷ εἰκοστοπέμπτῳ τῷ παρωνύμῳ ἔτι καὶ*

2 *ἑτερωνύμῳ χρῆται τῷ πέμπτῳ. δεύτερος οὖν λέγεται, ὅτι καὶ ἄλλῳ σὺν τῇ μονάδι μέτρῳ δύναται χρῆσθαι, καὶ ὅτι οὐκ ἀρχοειδής, ἀλλ' ἑτέρου προςτεθέντος πρὸς ἑαυτὸν ἢ πρὸς ἕτερον συντεθέντος αὐτὸς ἐγένετο, ὁ μὲν ϑ τοῦ γ, ὁ δὲ ιε τοῦ ε ἢ νὴ Δία τοῦ γ, καὶ οἱ ἐφεξῆς κατὰ τὸν αὐτὸν λόγον· σύνθετος δὲ ἐκ τοιαύτης αἰτίας, ὅτι διαλυθείη ἂν εἰς ἐκείνους, ἐξ ὧν συνέστηκεν, εἴπερ καὶ μετρηθείη ἂν ὑπ' αὐτῶν· οὐδὲν δὲ διαλυτὸν ἀσύνθετον, ἀλλὰ πάντως σύνθετον.*

XIII *ιγ. Ἀντικειμένων δὴ ἀλλήλοις τῶν δύο τούτων εἰ-*

XIII. Io. Phil. *ρ—ριγ*. — Iambl. p. 38—41. — Boëth. I. 12—14. — Schol. *ΝΓ* Nobb. p. 7—9

---

3. *μέρος*] *γένος G* — 5. *ἰδιαίτως P* — 6. *ἐνάτῳ GP* — *ἔτι καὶ τρίτῳ*] *χρᾶται ἤτοι τῇ τριάδι S* — 7. *ιε ἔτι*] *ιε καὶ τρ. ἅμα C ιε αμα κ. τρ. S* — 8. *ἐκδόμῳ P* — *εἰκοστομόνῳ CH* — 9. *παρωνύμ.*] *ἑαυτοῦ* praem. *CH* — 12. 13. *προςτεϑέντος* om. *CS πρὸς ἑαυτὸν . . . συντεϑ.* om. *P προςτεϑ. . . . ἕτερον* om. *H* — 14. *αὐτὸς*] *οὗτος CS* — 14. 15. *ἐκ τοῦ ε . . ἐκ τοῦ γ H* — *ἢ νὴ Δία τοῦ γ*] *καὶ τοῦ γ C ἢ τοῦ γ S* — 16. *τοιαύτης*] *τῆς αὐτῆς CSH* — 17. *εἰς ἐκεῖνα P εἰς τοὺς αὐτοὺς H* — *συνέστημεν P* — 18. *ἂν* om. *CSH* — *ὑπ'*] *παρ' H*

XIII. *Περὶ τοῦ καϑ' ἑαυτὸ* [*αὐτὸ μ*] *μὲν συνϑέτου, πρὸς* [om. *μ*] *ἄλλο* [*ἀλλὸ μ*] *δὲ ἀσυνϑέτου C* — 20. *δύο τούτων* om. *GmP*

δῶν τοῦ περισσοῦ τρίτον ἀνὰ μέσον τι θεωρεῖται οἱονεὶ ἐξ ἀμφοτέρων εἰδοποιούμενον τὸ καθ' αὑτὸ μὲν δεύτερον καὶ σύνθετον, πρὸς ἄλλο δὲ πρῶτον καὶ ἀσύνθετον, ὅταν ἀριθμὸς πρὸς τῷ κοινῷ μέτρῳ τῇ μονάδι ἔτι καὶ ἑτέρῳ μετρεῖταί τινι μέτρῳ καὶ διὰ τοῦτο δυνάμενος καὶ ἑτερώνυμον μέρος ἢ μέρη ἐπιδέξασθαι πρὸς τῷ παρωνύμῳ, πρὸς ἄλλον τινὰ ὁμοίως ἔχοντα ἀντεξεταζόμενος εὑρίσκεται μήτε κοινῷ μέτρῳ μετρηθῆναι δυνάμενος πρὸς ἐκεῖνον, μήτε τὸ αὐτὸ ὁμώνυμον μέρος ἔχων τῶν ἁπλῶς ἐν ἐκείνῳ· οἷον ὁ θ πρὸς τὸν κε· ἑκάτερος γὰρ καθ' ἑαυτὸν δεύτερός ἐστι καὶ σύνθετος, πρὸς δὲ ἀλλήλους μονάδι μόνῃ κοινῷ μέτρῳ χρῶνται καὶ οὐδὲν μόριον ὁμωνυμεῖ ἐν ἀμφοτέροις, ἀλλὰ τὸ ἐν τούτῳ τρίτον οὐκ ἔστιν ἐν ἐκείνῳ οὐδὲ τὸ ἐν ἐκείνῳ πέμπτον ἐν τούτῳ εὑρίσκεται.

2 Ἡ δὲ τούτων γένεσις ὑπὸ Ἐρατοσθένους καλεῖται κόσκινον, ἐπειδὴ ἀναπεφυρμένους τοὺς περισσοὺς λαβόντες καὶ ἀδιακρίτους ἐξ αὐτῶν τῇ τῆς γενέσεως μεθόδῳ ταύτῃ διαχωρίζομεν, ὡς δι' ὀργάνου ἢ κοσκίνου τινὸς καὶ ἰδίᾳ μὲν τοὺς πρώτους καὶ ἀσυνθέτους, ἰδίᾳ δὲ τοὺς δευτέρους καὶ συνθέ-

---

2. κατ' αὐτὸ *m* — 4. κοινῷ μ.] μέτρῳ om. *S* — 5. ἔτι om. *H* — μετρῆται *C* μετρούμενος *H* — τινὶ μ.] μέτρῳ om. *C* — 8. παρεξεταζόμενος *S* ἐξεταζ. *H* — εὑρίσκηται *C* — 9. 10. τὸ αὐτὸ om. *CS* — 10. παρώνυμον *S* — ἔχειν *SH* — τοῖν ἁπλ. *P* — 11. ἑκάτερ G_1 ος G_2 — 15. 16. ἐν τούτῳ om. *H*

XIII. 2. *Περὶ τῆς γενέσεως τῶν τρίων τούτων εἰδῶν τοῦ περισσοῦ* *μ* — 19 λαβόντον *P* λαμβάνοντες *S* — 21. μὲν G_2 ex ἐς

3 τους, χωρὶς δὲ τοὺς μικτοὺς εὑρίσκομεν. ἔστι δὲ ὁ τρόπος τοῦ κοσκίνου τοιοῦτος· ἐκθέμενος τοὺς ἀπὸ

---

2. *G* hoc apponit schema:

γ	ε	ζ	ϑ	ια	ιγ	ιε	ιζ	ιϑ	κα	κγ	κε	κζ	κϑ	λα	λγ	λε	λζ	λϑ	μα

τὸ Ἐρατοσθένειον κόσκινον τοιοῦτόν ἐστι.

et paullo infra hocce:

γ	ε	ζ	ϑ	ια	ιγ	ιε	ιζ	ιϑ	κα	κγ	κε	κζ	κϑ	λα	λγ	λε	λζ	λϑ	μα
		μγ	με	μζ	μϑ	να	νγ	νε	νζ	νϑ	ξα	ξγ	ξε	ξζ	ξϑ	οα	ογ	οε	οζ
		οϑ	πα	πγ	πε	πζ	πϑ	ϙα	ϙγ	ϙε	ϙζ	ϙϑ	ρα	ργ	ρε	ρζ	ρϑ	ρια	ριγ
		ριε	ριζ	ριϑ	ρκα	ρκγ	ρκε	ρκζ	ρκϑ	ρλα	ρλγ	ρλε	ρλζ	ρλϑ	ρμα	ρμγ	ρμε	ρμζ	ρμϑ

Ἐρατοσθένειον καὶ τοῦτο κόσκινον.

18 τριάδος πάντας ἐφεξῆς περισσοὺς ὡς δυνατὸν μάλιστα ἐπὶ μήκιστον στίχον, ἀρξάμενος ἀπὸ τοῦ πρώτου ἐπισκοπῶ, τίνας οἷός τέ ἐστι μετρεῖν, καὶ εὑρίσκω δυνατὸν ὄντα τοὺς δύο μέσους παραλείποντας μετρεῖν, μέχρις οὗ ἂν προχωρεῖν ἐθέλωμεν, οὐχ

---

ex eorum, quae in cod. reliquis reperiuntur, numero id sufficiat adponere diagramma, quod cod. Ciz. praebet:

τὸ Ἐρατοσθένειον κόσκινον.

γ	ε	ζ	γ ϑ γ	ια	ιγ	γ ιε ε	ιζ
ιϑ	γ κα ζ	κγ	ε κε ε	γ κζ ϑ	κϑ	λα	γ λγ ια
ε λε ζ	λζ	γ λϑ ιγ	μα	μγ	γ ε με ιε ϑ	μζ	ζ μϑ ζ
γ να ιζ	νγ	ε νε ια	γ νζ ιϑ	νϑ	ξα	γ ζ ξγ κα ϑ	ε ξε ιγ
ξζ	γ ξϑ κγ	οα	ογ	γ [ε] οε κε [ιγ]	οζ	οϑ	ϑ γ πα ϑ κζ
πγ	[ε] πε [ιε]	[γ] πζ [κϑ]	πϑ	[ζ] ϟα [ιε]	[γ] ϟγ [λα]	[ε] ϟε [ιϑ]	ϟζ

uncis inclusa addidi. de cribro Eratosthenis conf. Mich. Constantini Pselli *σύνταγμα εἰς τὰς τέσσαρας μαθηματικὰς ἐπιστήμας, ἀριθμητικὴν κτλ.* ed. G. Xylander, Basil. 1556. p. 4.

1. ἐφεξῆς] τοὺς add. *G* ἀριθμοὺς add. *S* — 2. στίχον om. *H* — πρωτίστου *SH* Io. Phil. ρ — 3. οἷόν τε G_1m οἷός τε PG_2CSH Io. Phil. ρ. — μετρεῖν] ἕκαστος add. *PCSH* — 4. δυνατὸν ὄντα om. *C* τὸν πρῶτον ἤτοι τὸν γ subiciunt PG_2CS, praem. *H* — παραλείποντας recte Ast; παραλείποντα *GP* διαλείποντας *C* Io. Phil. ρ. ρα διαλείποντα *SH* παραλιπόντας Iambl. 39. — 5. μετρεῖν om. *H* — ἂν om. *GP* ἐθέλομεν *P* ἐθέλοιμεν *C*

ὡς ἔτυχε δὲ καὶ εἰκῇ μετροῦντα, ἀλλὰ τὸν μὲν πρώ-
τως κείμενον, τουτέστι τὸν δύο μέσους ὑπερβαίνοντα
κατὰ τὴν τοῦ πρωτίστου ἐν τῷ στίχῳ κειμένου πο-
σότητα μετρήσει, τουτέστι κατὰ τὴν ἑαυτοῦ· τρὶς
γάρ· τὸν δ' ἀπ' ἐκείνου δύο διαλείποντα κατὰ τὴν
τοῦ δευτέρου τεταγμένου· πεντάκις γάρ· τὸν δὲ
περαιτέρω πάλιν δύο διαλείποντα κατὰ τὴν τοῦ τρι-
του τεταγμένου· ἑπτάκις γάρ· τὸν δὲ ἔτι περαιτέρω
ὑπὲρ δύο κείμενον κατὰ τὴν τοῦ τετάρτου τεταγ-
μένου· ἐνάκις γάρ· καὶ ἐπ' ἄπειρον τῷ αὐτῷ τρόπῳ.
4 εἶτα μετὰ τοῦτον ἀπ' ἄλλης ἀρχῆς ἐπὶ τὸν δεύτερον
ἐλθὼν σκοπῶ, τίνας οἷός τέ ἐστι μετρεῖν, καὶ εὑρίσκω
πάντας τοὺς τετράδα διαλείποντας, ἀλλὰ τὸν μὲν
πρῶτον κατὰ τὴν τοῦ ἐν τῷ στίχῳ πρώτου τεταγ-
μένου ποσότητα· τρὶς γάρ· τὸν δὲ δεύτερον κατὰ
τὴν τοῦ δευτέρου· πεντάκις γάρ· τὸν δὲ τρίτον
κατὰ τὴν τοῦ τρίτου· ἑπτάκις γάρ· καὶ τοῦτο ἐφε-
5 ξῆς ἀεί. πάλιν δὲ ἄνωθεν ὁ τρίτος ὁ ζ ὁ τὸ μέτρον
παραλαβὼν μετρήσει τοὺς ἓξ διαλείποντας, ἀλλὰ
τὸν μὲν πρώτιστον κατὰ τὴν τοῦ γ ποσότητα πρώ-
του κειμένου, τὸν δὲ δεύτερον κατὰ τὴν τοῦ ε· δευ-
τεροταγὴς γὰρ οὗτος· τὸν δὲ τρίτον κατὰ τὴν τοῦ ζ·
6 τρίτην γὰρ ἔχει καὶ οὗτος τάξιν ἐν τῷ στίχῳ. καὶ

1. πρώτως] αὐτῶν add. *P* πρῶτον *H* Io. Phil. ϱ — 2. τὸν δύο *m* ex τοὺς δύο corr. G_2 τὸν τοὺς δύο *PH* 3. 4. κειμένην . . μετρεῖ Io. Phil. ϱ κειμένου Io. Phil. ϱβ — 4. ἑαυτοῦ] ποσότητα add. *H* — 5. τὸν δ' ἀπ'] τὸν δὲ περαιτέρω πάλιν ἀπ' *C* — λείποντα *Gm* — κατὰ τὰ *m* — 7. περαιτέρου om. *CSH* — πάλιν] ἀπ' ἐκείνου add. *SH* — 8. τεταγμένου] ποσότητα add. *S* — ἑπτάκις γὰρ om. *H* — 10. ἐννεάκις *CSH* — 11. τοῦτο *H* — 12. οἷόν τε *GmP* — 13. τετράδα recte Ast, τετράδι codd. — 15. τρι^{α}ς *G* — 16. 17. τὸν δὲ τρ. . . γὰρ om. *H* — 20. τὸ μὲν *G* — γ] τρίτον *m* — 22. γὰρ G_2 in ras.

κατὰ τὴν αὐτὴν ἀναλογίαν διόλου ἀπαρεμπόδιστον
προχωρήσει σοι τοῦτο, ὥςτε τὸ μὲν μετρεῖν διαδέξον-
ται κατὰ τὴν ἐν τῷ στίχῳ αὐτῶν ἐγκειμένην τάξιν,
τὸ δὲ πόσους διαλείποντας κατὰ τὴν ἀπὸ δυάδος
ἐπ' ἄπειρον εὔτακτον τῶν ἀρτίων προκοπὴν ἢ κατὰ
τὴν τῆς χώρας διπλασίασιν, καθ' ἣν ὁ μετρῶν τέ-
τακται, τὸ δὲ ποσάκις κατὰ τὴν τῶν ἀπὸ τριάδος
περισσῶν εὔτακτον προχώρησιν. ἐὰν οὖν σημείοις 7
τισὶν ἐπιστίξῃς τοὺς ἀριθμούς, εὑρήσεις τοὺς μετα-
λαμβάνοντας τὸ μετρεῖν οὔτε ἅμα πάντας τὸν αὐτόν
ποτε μετροῦντας, ἔστι δὲ ὅτε οὐδὲ δύο τὸν αὐτόν,
P οὔτε πάντας ἁπλῶς τοὺς ἐκκειμένους ὑποπίπτοντας
19 μέτρῳ τινὶ αὐτῶν, ἀλλὰ τινὰς μὲν παντελῶς διαφεύ-
γοντας τὸ μετρηθῆναι ὑφ' οὐτινοςοῦν, τινὰς δὲ ὑπὸ
ἑνὸς μόνου μετρουμένους, τινὰς δὲ ὑπὸ δύο ἢ καὶ
πλειόνων. οἱ μὲν οὖν μηδαμῶς μετρηθέντες, ἀλλὰ 8
διαφυγόντες τοῦτο πρῶτοί εἰσι καὶ ἀσύνθετοι, ὡς
ὑπὸ κοσκίνου διακριθέντες, οἱ δὲ ὑπὸ ἑνὸς μόνου
μετρηθέντες κατὰ τὴν ἑαυτῶν ποσότητα, ἓν μόνον
μόριον ἑτερώνυμον ἕξουσι πρὸς τῷ παρωνύμῳ, οἱ δὲ
ὑπὸ ἑνὸς μέν, ἑτέρου δὲ ποσότητι καὶ μὴ τῇ ἑαυτοῦ
ἢ ὑπὸ δύο ὁμοῦ μετρηθέντες πλείονα ἕξουσι τὰ ἑτε-
ρώνυμα μέρη πρὸς τῷ παρωνύμῳ· οὗτοι οὖν ἔσονται
δεύτεροι καὶ σύνθετοι. τὸ δὲ τρίτον μέρος τὸ κοινὸν 9

1. αὐτὴν G_2 corr. ex αὐτοῦ — δι' ὅλον *P* — 1. 2. ἀπαραπόδιστον χωρήσει *SH* — 3. ἐγκειμένην om. *CSH* — 4. πόσους] τοσούτους *C* — ἀπὸ G_2 ex ὑπὸ — 5. τῶν om. *P* — 8. εὔτακτον] ἐπ' ἄπειρον add. *SH* — 12. κειμένους *H* — 16. οὐδαμῶς *PC* — 18. μόνου om. *H* — 19. μετρηθέντες] μέτρου add. *H* — ἑαυτοῦ G_1 ἐν αὐτῷ *C* — 20. ἑτερώνυμον om. *C* — 21. μὲν om. G_1 — 23. 24. οὗτοι . . . σύνθετοι om. *GmH* τοῦτοι *PS* οἱ δεύτ. *S* οὗτοι δὲ πάντες δεύτεροί εἰσι καὶ σύνθ. *C* in mrg. — 24. μέρος] εἶδος *CSH*

ἀμφοτέρων, ὃ καθ' ἑαυτὸ μὲν δεύτερον καὶ σύνθε-
τον, πρὸς ἄλλο δὲ πρῶτον καὶ ἀσύνθετον, ἔσονται
οἱ ἀποτελούμενοι ἀριθμοὶ κατὰ τὴν ἑαυτοῦ ποσό-
τητα πρώτου καὶ ἀσυνθέτου μετρήσαντός τινος, εἴ
τις γενόμενος συγκρίνοιτο πρὸς ἄλλον ὡςαύτως τὴν
γένεσιν ἔχοντα· ὥςπερ ὁ ϑ (ἐγίνετο ἐκ τοῦ γ κατὰ
τὴν ἑαυτοῦ ποσότητα μετρήσαντος, τρὶς γάρ), εἰ
συγκρίνοιτο πρὸς τὸν κε (ἐγίνετο ἐκ τοῦ ε κατὰ τὴν
ἑαυτοῦ ποσότητα μετρήσαντος, πεντάκις γάρ), κοι-
10 νὸν μέτρον τούτοις οὐδέν, εἰ μὴ μονάς. ὡς δ' ἂν
καὶ μέθοδον ἔχοιμεν διαγνωστικὴν τῶν πρὸς ἀλλή-
λους ἤτοι πρώτων καὶ ἀσυνθέτων ἢ δευτέρων καὶ
συνθέτων, ὅτι ἐκείνων μὲν κοινὸν μέτρον μονάς ἐστι,
τούτων δὲ πρὸς τῇ μονάδι καὶ ἕτερός τις ἀριθμός,
11 καὶ ποῖος οὗτος ὑπάρχει. εἰ ὁρισθείησαν ἡμῖν δύο
περισσοὶ ἀριθμοί, προτείναντός τινος καὶ ἐπιτάξαν-
τος διαγνῶναι, πότερον πρῶτοι πρὸς ἀλλήλους καὶ
ἀσύνθετοί εἰσιν ἢ δεύτεροι καὶ σύνθετοι, καὶ εἰ
δεύτεροι καὶ σύνθετοι, ποῖος ἀριθμὸς αὐτῶν κοινὸν
μέτρον ἐστί, χρὴ ἀντισυγκρίνειν τοὺς προτεθέντας
ἀριθμοὺς καὶ τὸν ἐλάττονα ἀπὸ τοῦ μείζονος ἀεὶ
ἀφαιρεῖν, ὁσάκις δυνατόν, εἶτα τούτου ἀφαιρεθέν-
τος ἀνταφαιρεῖν ἀπὸ τοῦ λοιποῦ, ὁσάκις πάλιν δυ-

1. 2. οἱ καθ' ἑαυτοὺς μὲν δεύτεροι καὶ σύνθετοι, πρὸς ἄλλους [ἀλλήλους *H*] δὲ πρῶτοι καὶ ἀσύνθετοι *SH* — 4. πρ. καὶ ἀσύνθ. om. *C* — 6. ἐγίνετο *Gm* — τοῦ γ] τοῦ τρίτου *P* — 8. ἐγίνετο ἐκ addidi; ἐγένετο γὰρ καὶ οὗτος ἐκ τοῦ ε *CS* om. rel. — 10. ἐν τούτοις *C* — οὐδὲν] ἕτερόν ἐστιν add. *CS* οὐκ ἔσται *PH* — μόνη μονὰς *CS* μόνη ἡ μον. *PH* — ὥςτ' ἂν Ast. — 11. μέθοδον] ἔφοδον *CSH* *S* in mrg. διδασκαλίας μέθοδον, cf. Io. Phil. ριγ. — 13. μόνη μονὰς *C* μόνον μον. *S* — 15. ὑπάρχῃ *G* — 16. περισσοὶ om. *C* — 22. ὑφαιρεῖν G_1mP — 22. 23. εἶτα .... δυνατὸν om. *H*

νατόν· ἡ γὰρ ἀντιπερίστασις αὕτη καὶ ἀνταφαίρεσις ἀναγκαίως ἤτοι ἐπὶ μονάδα καταλήξει ἢ ἐπί τινα ἕνα καὶ τὸν αὐτὸν ἀριθμόν, ἀναγκαίως δὲ περισσόν. 4 ὅταν μὲν οὖν ἐπὶ μονάδα αἱ ἀφαιρέσεις περαιωθῶσι, 12 P πρώτους καὶ ἀσυνθέτους αὐτοὺς ἀποφαίνουσι πρὸς 20 ἀλλήλους, ὅταν δὲ ἐπὶ ἕτερόν τινα ἀριθμὸν περισσὸν τῇ ποσότητι διφορούμενον, δευτέρους λέγε εἶναι πρὸς ἀλλήλους καὶ συνθέτους καὶ κοινὸν αὐτοῖς εἶναι μέτρον αὐτὸν ἐκεῖνον τὸν διφορούμενον ἀριθμόν· οἷον ἐὰν ὁ κγ προεβλήθη ἡμῖν καὶ ὁ με, ἄφελε τὸν κγ ἀπὸ τοῦ με, λειφθήσεται κβ· τοῦτον ἀνταφαιρῶν ἀπὸ τοῦ κγ, λοιπὴ μονάς· ταύτην ἀφαιρῶν ἀπὸ τοῦ κβ, ὁσάκις δυνατόν, εἰς μονάδα καταλήξεις· διὰ τοῦτο πρῶτοι καὶ ἀσύνθετοι πρὸς ἀλλήλους εἰσὶ καὶ κοινὸν αὐτῶν μέτρον ἡ ἀπολειφθεῖσα μονάς. εἰ δὲ ἑτέρους ἀριθμοὺς προθείη τις, τὸν κα καὶ τὸν 13 μθ, ἀφαιρῶ τὸν ἐλάττονα ἀπὸ τοῦ μείζονος· λείπεται κη· εἶτα πάλιν ἐκ τούτου ἀφαιρῶ τὸν αὐτὸν κα (δυνατὸν γάρ), λείπεται ζ· ταῦτα ἀνταφαιρῶ ἀπὸ τοῦ κα, καταλείπεται ιδ· ἐξ ὧν πάλιν τὰ ζ ἀφαιρῶ (δυνατὸν γάρ), λειφθήσεται ζ, ἑβδομάδα δὲ ἀπὸ

---

1. *ἀντιπερίστασις*] *ἀντίβασις CSH* — 2. *καταλήξοι S* — 3. *καὶ τὸν αὐτὸν* om. *P* — 4. *μονάδος G* — 5. *ἀποφαίνουν εἶναι PCSH* — 6. *ὅτε P* — 7. *ποσότητι*] *ἰσότητι H* — 7. et 9. *διφορούμενον*] = *iteratum*. *διαφορούμενον* G_1*mPS*, *ἀδιαφ.*, in mrg.: *γρ. διφορούμενον* G_2*H*; *διφορ. C*, in mrg. *ἀδιαφορ.* (cf. Camerar. explic. in Nicom. p. 12.) — 7. *λέγει P* — 10. *ἐὰν* om. *H* — *προβληθῇ PCSH* — *ἄφελε*] *ἄφειλον H*, in mrg. *ἄφελε*. *ἀφαιρῶ C* — 11. *ἐλείφθησαν κβ S* — *ἀν' ἀφαιρῶ P ἀνταφαιρῶ C ἀφαιρῶ H* — 12. *ἀνταφαιρῶ CS ἀφαιρῶ H* — 13. *καταλήγει C* — 15. *αὐτοῖς S* — *μετρῶν H* — *ἀποληφθ. C* — 16. *προςθείη PS* — 17. *ἀφαιρῶν G* — 18. *εἶτα*] *εἰ P* — *ἀφαιρῶ*] *ἐπαφ. S* — 20. *καταλείπεται P καταλίποιτο Gm λείπεται C λειφθήσεται SH* — *τὰ αὐτὰ ζ CS τὰ ζ ἐπεὶ P* — 21. *λείπεται C* — *ἑβδομὰς ... δύναται SH ἑκδ. P* ut solet.

ἑβδομάδος οὐ δυνατόν ἀφαιρεθῆναι· ἡ ἄρα κατάληξις αὐτῶν εἰς διφορούμενον τὸν ζ ἐπεραιώθη, δευτέρους δὲ καὶ συνθέτους πρὸς ἀλλήλους ἀποφαίνου τοὺς ἐξ ἀρχῆς τὸν κα καὶ τὸν μθ καὶ κοινὸν αὐτῶν μέτρον πρὸς τῇ καθολικῇ μονάδι τὸν ζ.

XIV ιδ. Πάλιν δὲ ἄνωθεν· τῶν ἁπλῶς ἀρτίων ἀριθμῶν οἱ μέν εἰσιν ὑπερτελεῖς, οἱ δὲ ἐλλιπεῖς, καθάπερ ἀκρότητες ἀντικείμεναι ἀλλήλαις, οἱ δὲ ἀνὰ μέσον
2 ἀμφοτέρων, οἳ καὶ λέγονται τέλειοι. καὶ εἰσὶν οἱ μὲν ἀντικεῖσθαι λεγόμενοι ἀλλήλοις ὑπερτελεῖς τε καὶ ἐλλιπεῖς ἐν τῇ τῆς ἀνισότητος σχέσει διαιρούμενοι εἴς τε τὸ πλέον καὶ εἰς τὸ ἔλαττον· ἕτερος γὰρ παρὰ ταῦτα τρόπος ἀνισότητος οὐκ ἂν ἐπινοηθείη, καθάπερ οὔτε κακία οὔτε νόσος οὔτε ἀσυμμετρία οὔτε ἀπρέπεια οὔτε τῶν τοιούτων ἕκαστον· ἐν μὲν γὰρ τῷ πλείονι αἵ τε ὑπερβολαὶ καὶ πλεονεξίαι καὶ ὑπερεκπτώσεις καὶ περισσότητες γίνονται, ἐν δὲ τῷ ἐλάττονι αἱ ἔνδειαι καὶ ἐλλείψεις καὶ στερήσεις καὶ ὀλιγοεξίαι, ἐν δὲ τῷ μεταξὺ τοῦ πλέον καὶ τοῦ ἔλαττον κειμένῳ, ὅ ἐστιν ἴσῳ, ἀρεταί τε καὶ

XIV. Io. Phil. ριδ. — Iambl. p. 42. 43. — Theon. 32. — Boëth. I. 15. — Schol. *ΝΓ* Nobb. p. 9.

2. διφορούμενον *GmC* διαφορ. *P* ἀδιαφορ. *SH* — 3. δὲ *Gm* ὁ *P* οὖν *CSH* — ἀποφαίνομαι *C* -ω *S* — 4. ἀρχῆς] ἀριθμοὺς add. *H*

XIV. *Περὶ τῶν τοῦ ἀρτίου εἰδῶν κατὰ δεύτερον [δευτέραν m] διαίρεσιν Gm κατ' ἐπιδιαίρεσιν C Ἐπιδιαίρεσις τῶν τριῶν. περὶ ἀριθμοῦ τελείου, ὑπερτελοῦς καὶ ἐλλιποῦς S Περὶ τελείων καὶ ὑπερτελῶν καὶ ἐλλιπῶν H* — 8. ἀντικείμενοι ἀλλήλοις *SH* — 9. τέλειοι καὶ εἰσίν. οἱ *GP* — 11. ἀνισότητ G_1 ος G_2 — 11. διαιρούμενον *P* — 15. οὔτε ἀπρέπ.] ἢ ἀπρέπ. *S* — 19. ὀλιγεξίαι *C* — πλέονος *P* πλείονος *CH* 20. ἐλάττονος *PCH* — ἴσον *P*

ὑγεῖαι καὶ μετριότητες καὶ εὐπρέπειαι καὶ κάλλη καὶ
τὰ ὅμοια· ὧν γενικώτατον τὸ λεχθὲν τοῦ ἀριθμοῦ
εἶδος τὸ τέλειον.

4 Ὑπερτελὴς μὲν οὖν ἀριθμὸς ὁ ὑπὲρ τὰ προςή- 3
P κοντα αὐτῷ καὶ ἐπιβάλλοντα μέρη ἔχων ἕτερα πλεί-
21 ονα· ὡς ἂν εἴ τι ζῷον πλείοσι μέρεσιν ἢ μέλεσι
τελεσιουργούμενον εἴη, δέκα μὲν γλώσσας ἔχον κατὰ
τὸν ποιητήν, δέκα δὲ στόματα, ἢ ἐννεάχειλον ἢ τρι-
στοίχοις κεχρημένον ὀδοῦσιν ἢ ἑκατόγχειρον ἢ πλεί-
ονας δακτύλους ἐν ἑτέρᾳ τῶν χειρῶν ἔχον, οὕτω
καὶ εἴ τις ἀριθμὸς πάντων τῶν ἐν αὐτῷ μερῶν ἐξε-
τασθέντων καὶ εἰς ἓν ἄθροισμα συγκεφαλαιωθέντων
ἀντεξεταζόμενος εὑρίσκοιτο πλείονα τὰ ἴδια μέρη
ἑαυτοῦ ἔχων, ὑπερτελὴς οὗτος καλεῖται· ὑπερβαίνει
γὰρ τὴν τοῦ τελείου πρὸς τὰ ἑαυτοῦ μέρη συμμε-
τρίαν· οἷός ἐστιν ὁ ιβ, ὁ κδ καὶ ἄλλοι τινές· ἔχει
μὲν γὰρ ὁ ιβ ἥμισυ ς, τρίτον δ, τέταρτον γ, ἕκτον
β, δωδέκατον α, ἅπερ ὁμοῦ συγκεφαλαιωθέντα ποιεῖ
ις, ὅς πλείων ἐστὶ τοῦ ἐξ ἀρχῆς ιβ· τὰ ἄρα μέρη
αὐτοῦ πλείονα τοῦ ὅλου ὑπάρχει. ὁ δὲ κδ ἔχει καὶ 4
αὐτὸς ἥμισυ, τρίτον, τέταρτον, ἕκτον, ὄγδοον, δωδέ-
κατον, εἰκοστοτέταρτον, ἅπερ ὑπάρχει

ιβ, η, ς, δ, γ, β, α·

XIV, 3. *Περὶ τοῦ ὑπερτελοῦς ἀριθμοῦ* G [τοῦ om. *mCSHμ* ἀρ. om. *CSH*] — 4. ἀριθμὸς] ἐστιν add. *PCSH* — 5. ἐπιβάλοντα *P* — 6. ὡςανεὶ εἴ τι *P* — 7. τελεσιουργημένον C_1 τελεσιουου C_2 τετελεσιουργημένον *H* — 8. ποιητὴν] cf. Hom. Od. XII, 89 seq. — τριστίχοις *CH* — 9. ἑκατόγγειρον *P* ἑκατοντάχειρον *H* — 13. ἴδια om. *H* — 14. αὐτοῦ *Gm*, om. *P* — καλεῖται] κλητέος *SH* κλητέον *μ* — ὑπερβάλλει *S* — 16. οἷόν *P* — 17. δ] δευτέρῳ *P* — 17. 18. ς, δ, γ, β, α om. *H* post δωδ. add. ἅπερ ἐστι ς, δ, γ, β, α. — 18. ὁμοῦ] πάντα add. *S* — 20. τοῦ ὅλου] τοῦ ιβ *C* — 21—23. ἥμισυ ... α] ἥμ. ιβ, τρ. η, τέτ. ς, ἕκτ. δ, ὄγδ. γ, δωδ. β, εἰκοστ. α *C*

συγκεφαλαιωθέντα δὲ συνάγει τὸν λς, ὃς συγκρινόμενος τῷ ἐξ ἀρχῆς τῷ κδ μείζων αὐτοῦ εὑρίσκεται, καίτοι ἐκ τῶν ἐκείνου μερῶν μόνων συντεθείς· πλείονα ἄρα κἀνταῦθα τὰ μέρη τοῦ ὅλου.

XV *ιε. Ἐλλιπὴς δὲ ἀριθμός ἐστιν ὁ τὸ ἐναντίον τοῖς δειχθεῖσι πεπονθὼς καὶ τὰ ἑαυτοῦ μέρη συντεθέντα ὑφ' ἓν κατὰ σύγκρισιν ἑαυτοῦ ἐλάττονα κεκτημένος, ὡς εἴ τι ζῷον τῶν κατὰ φύσιν μελῶν ἢ μερῶν ἐλαττοῦται, ἢ εἴ τις μονόφθαλμος εἴη, ὡς τὸ*

κυκλοτερὴς δ' ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ,

ἢ εἴ τις μονόχειρ εἴη ἢ ἐν ἑτέρᾳ τῶν χειρῶν ἐλάττονας τῶν ε δακτύλους κεκτημένος εἴη ἢ ἄγλωσσος ἢ τοιούτου τινὸς ἐστερημένος, ἐλλιπὴς ἂν ὁ τοιοῦτος λέγοιτο καὶ οἱονεὶ πηρὸς κατὰ τὴν τοῦ ἀριθμοῦ ἰδιότητα τοῦ ἔχοντος τὰ ἴδια μέρη ἐλάττονα ἑαυτοῦ· οἷός ἐστιν ὁ η, ὁ ιδ· ὁ μὲν γὰρ η μέρος ἔχει ἥμισυ, τέταρτον, ὄγδοον, ἅπερ ἐστὶ

δ, β, α,

συγκεφαλαιωθέντα δὲ εἰς τὸ αὐτὸ ζ γίνονται καὶ ἐλάττονα τοῦ ἐξ ἀρχῆς· τὰ ἄρα μέρη ἐλλείπει πρὸς
2 *τὴν τοῦ ὅλου συμπλήρωσιν. πάλιν ὁ ιδ ἔχει ἥμισυ, ἕβδομον, τεσσαρεσκαιδέκατον, ἅπερ εἰσὶν*

XV. Iambl. p. 43. 44. — Theon. 32. — Boëth. I. 15.

---

3. *μόνων* om. *P* *μόνον* *H* — *συνθεθείς* *P*

XV. *Περὶ ἐλλιποῦς ἀριθμοῦ* *Gm* [*ἀρ.* om. *CSH*] *περὶ ἀτελοῦς ἀρ.* *μ* — 8. *φύσιν*] *αὐτοῦ* subicit *H* — *ἐλαττοῖτο* *CSH* — 9. *ἢ . . . εἴη* *CμΓ* — 10. cf. Hes. Theog. 145. — *μετόπῳ* *P* — 11. *μονόχειρον* *P* — 12. *τῶν ε δακτύλων ἔχων ἢ εἰ ἄγλωσσος εἴη* *C* *τῶν πάντων δακτύλων ἔχων εἴη ἢ ἄγλ.* *SH* — 13. *τινὸς ἑτέρου* *S* — 15. *ἰδιότητα*] *ὁμοιότητα* *CSH* — 16. *μέρος*] -*η* *SH* — 17—19. *ὅπερ . . . γίνεται* *SH* — 20. *ἐλλείπει*] *ἐλλιπῆ* *SH* — *πρὸς*] *εἰς* *C* — 21. *πάλιν* om. *SH* — *εἰσὶν*] *ὑπάρχει* *SH*

ζ, β, α,

σύμπαντα δὲ ὁμοῦ ι, ἐλάττονα τοῦ ἐξ ἀρχῆς· ἐλλείπει ἄρα καὶ οὗτος ἐν τοῖς μέρεσι πρὸς τὸ συμπληρωθῆναι τὸ ὅλον ἐξ αὐτῶν.

P 22 ις. Ἀντικειμένων δὲ τῶν δύο τούτων εἰδῶν ὡςανεὶ ἐν ἀκροτήτων τρόπῳ μεσότης φαίνεται ὁ λεγόμενος τέλειος ἐν ἰσότητι εὑρισκόμενος καὶ οὔτε τὰ μέρη ἑαυτοῦ πλείονα ἀποτελῶν συντεθέντα οὔτε ἑαυτὸν μείζονα τῶν μερῶν ἀποφαίνων, ἀλλ' αἰεὶ ἴσος τοῖς ἑαυτοῦ μέρεσιν ὑπάρχων· τὸ δὲ ἴσον τοῦ πλείονος καὶ ἐλάττονος πάντως ἐν μεταιχμίῳ θεωρεῖται καὶ ἔστιν ὥςπερ τὸ μέτριον τοῦ ὑπερβάλλοντος καὶ τοῦ ἐλλείποντος μεταξὺ καὶ τὸ ὁμόφωνον τοῦ ὀξυτέρου καὶ βαρυτέρου. XVI

ὅταν οὖν ἀριθμὸς πάνθ', ὅσα ἐνδέχεται ἐν αὐτῷ εἶναι, μέρη συναχθέντα καὶ συγκεφαλαιωθέντα ἐν συγκρίσει τῇ πρὸς ἑαυτὸν ἔχων μήτε ὑπερβάλλῃ τῷ πλήθει αὐτὰ μήτε ὑπερβάλληται ὑπ' αὐτῶν, τότε ὁ τοιοῦτος τέλειος κυρίως λέγεται, ὁ τοῖς ἑαυτοῦ μέρεσιν ἴσος ὤν· οἷον ὁ ς καὶ ὁ κη' ὅ τε γὰρ ς ἔχει μέρη ἥμισυ, τρίτον, ἕκτον, ἅπερ εἰσὶ 2

XVI. Io. Phil. ριδ—ρκα. — Iambl. p. 44—48. — Theon. 32. — Boëth. I. 15. 16. — Schol. ΝΓ Nobb. p. 9.

---

3. πληρωθῆναι *H*

XVI. *Περὶ τελείου ἀριθμοῦ* *Gmu* [ἀρ. om. *CSH*] — 5. ὡςεὶ *S* — 8. πλείονα] ποτε add. *H* — ἀποτελεῖ *S* — 9. μείζονα om. *SH*, qui post ἀποφ. add. ἐλάσσω. καὶ αἰεὶ *GP* — 10. ἑαυτοῦ] ἰδίοις *SH* — 11. πλέον καὶ ἔλαττον *S* — 13. τὸ om. G_1*P* — εὔφωνον *S* — 15. ἑαυτῷ G_2 — εἶναι om. *H* — 16. συγκεφαλαιωθέντα om. *S* — 17. αὐτὸν *H* — ὑπερβάλλων *G* -ει *P* — 18. ὑπερβάλληται *Gm* -λλεται *P* — 19. ἑαυτοῦ] ἰδίοις *SH* — ὢν om. *H* — οἷός ἐστιν *CSH* — 21. ἐστὶ *SH*

γ, β, α,

ἅπερ συγκεφαλαιωθέντα ὁμοῦ καὶ γενόμενα ς ἴσα τῷ ἐξ ἀρχῆς ὑπάρχει καὶ οὔτε πλείονα οὔτε ἐλάττονα· καὶ ὁ κη μέρη μὲν ἔχει ἥμισυ, τέταρτον, ἕβδομον, τεσσαρεςκαιδέκατον, εἰκοστόγδοον, ἅπερ γίνεται

ιδ, ζ, δ, β, α,

καὶ ὑφ' ἓν συναθροισθέντα ἀποτελεῖ τὸν κη καὶ οὕτως οὔτε τὰ μέρη πλείονα τοῦ ὅλου οὔτε τὸ ὅλον τῶν μερῶν, ἀλλ' ἡ σύγκρισις ἐν ἰσότητι, ὅπερ τε-
3 *λείου ἰδιότης. συμβέβηκε δέ, καθάπερ τὰ καλὰ τά τε κατ' ἀρετὴν σπάνια καὶ εὐαρίθμητα, τὰ δὲ αἰσχρὰ καὶ ἐν κακίᾳ εἶναι πολύχοα, οὕτω καὶ ὑπερτελεῖς μὲν καὶ ἐλλιπεῖς παμπόλλους καὶ ἀτάκτους εὑρίσκεσθαι ἀκόσμου οὔσης τῆς αὐτῶν εὑρέσεως, τελείους δὲ εὐαριθμήτους τε καὶ τεταγμένους μετὰ προςήκοντος κόσμου· εἷς μὲν γὰρ μόνος εὑρίσκεται ἐν μονάσιν ὁ ς, ἕτερος δὲ μόνος ἐν δεκάσιν ὁ κη, τρίτος δέ τις ἐν βαθμῷ ἑκατοντάδων μόνος ὁ υϟς, τέταρτος ὁ ἐν χιλιάδων ὅρῳ, τουτέστιν ὁ ἐντὸς μυριάδων ὁ ,ηρκη· καὶ παρέπεται αὐτοῖς μίαν παρὰ μίαν εἰς ἑξάδα ἢ ὀγδοάδα καταλήγειν καὶ πάντως εἶναι νὲ ἀρτίοις.*

4 *Γένεσις δὲ αὐτῶν γλαφυρά τε καὶ ἀσφαλὴς οὔτε*

---

2. *ἅπερ συγ.*] *ἃ P ἃ καὶ H* — 5. *εἰκοστοόγδοον S* — *γίνεται*] *εἰσὶ C γίνονται S* — 7. *ὑφ' ἓν . . . κη*] *συγκεφαλαιωθέντα ὑφ' ἓν συντελεῖ αὐτὸν τὸν κη S ὑφ' ἓν κεφάλαιον ἀθροισθέντα ποιεῖ τὸν κη H* — 9. *ἤπερ SH* — 12. *εἶναι*] *ὑπάρχοντα H* — 14. *τελείου G_1mP* — 15. *μετὰ τοῦ πρ. S* — *ἐν προςήκοντι κόσμῳ H* — 18. *ἑκατοντάδος GmPH* — 19. *τουτέστιν . . . . μυρ.* om. *C μυριάδος S* — 20. *παρὰ μίαν*] *κατάληξιν* add. *CSH* — 21. *ἐν* om. *CSH* — 22. *ἀρτίους SH*

XVI. 4. *Περὶ γενέσεως [τῶν μ] τελείων Cμ Τελείων γένεσις S* — 23. *τε*] *τις C*

παραλείπουσά τινα τῶν τελείων οὔτε ἀδιαφοροῦσά τινα τῶν μὴ τοιούτων τούτῳ γινομένη τῷ τρόπῳ. ἐκθέσθαι δεῖ τοὺς ἀπὸ μονάδος ἀρτιάκις ἀρτίους προβιβάζοντα ἑξῆς ἐν ἑνὶ στίχῳ, μέχρις οὗ βούλει,

P α, β, δ, η, ις, λβ, ξδ, ρκη, σνϛ, φιβ, ͵ακδ, ͵βμη, ͵δϟϛ,

23 εἶτα ἀεὶ κατὰ ἑνὸς πρόςθεσιν ἐπισωρεύειν, καὶ καθ' ἑκάστην ἐπισώρευσιν σκοπεῖν τὸν γινόμενον, οἷός ἐστι· καὶ ἂν μὲν εὕρῃς πρῶτον καὶ ἀσύνθετον ὑπάρχοντα, τῇ τοῦ ἐσχάτου προςληφθέντος ποσότητι πολλαπλασιάσεις αὐτὸν καὶ ὁ ἀποτελεσθεὶς πάντως τέλειος ἔσται· ἐὰν δὲ δεύτερον καὶ σύνθετον, οὐ πολλαπλασιάσεις, ἀλλ' ἐπισωρεύσεις τὸν ἑξῆς καὶ πάλιν ἐπισκέψῃ, τίς ὁ ἀποτελούμενος, καὶ ἐὰν μὲν δεύτερος καὶ σύνθετος, πάλιν παραλείψεις καὶ οὐ πολλαπλασιάσεις, ἀλλ' ἐπισωρεύσεις τὸν ἑξῆς, ἐὰν δὲ πρῶτος καὶ ἀσύνθετος, τῷ ἐσχάτῳ εἰς τὴν σύνθεσιν παραληφθέντι πολλαπλασιάσεις αὐτὸν καὶ ὁ γινόμενος τέλειος ἔσται, καὶ τοῦτο μέχρις ἀπείρου· παραπλησίως πάντας ἑξῆς ἀπογεννήσεις τοὺς τελείους μηδενὸς παραλειπομένου· οἷον τῷ α ἐπισωρεύω τὸν

---

1. ///δι///φοροῦσα *G* διαφοροῦσα *S* — 2. τῶν μὴ τοιούτων om. *SH* — τούτῳ .. τῷ] τοιούτῳ γιν. *SH* — 3. δεῖ τοὺς om. *P* — 4. προβιβάζοντας *PSH* — ἑνὶ om. *S* — 5. σνϛ] ϟνϛ *P* — ͵δϟϛ] νϟϛ *GP* omnes post ρκη numeros om. *ΗΓ* — 6. πρόθεσιν G_1 — 7. ἕκαστον ἐπισωρεύουσιν *P* — 8. καὶ ἂν] ὡς ἂν *P* — 9. πολυπλασιάζεις *S* — 11. πολυπλασιάσεις *S* — 12. προςεπισωρεύσῃς *S* — 14. πολλαπλασιάσῃς *P* — 15. ἐπισωρεύσῃς *P* ἐποίσεις *SH* — 16. ἐσχάτῳ] ὑστάτῳ *CSH* — σύνθεσιν] σύγκρισιν *S* — 17. παραληφθέντι *CS* -λειφθέντι cet. — γινόμενος] πάντως add. *CSH* — 19. παραπλησίον *P* ποιῶν add. G_2 *CSH* — ἐφεξῆς γεννήσεις *CS* — 20. παραλειπομένου] ἀπολειπομένου Ast. in omnibus paene codicibus (*GmPS*) librariorum oscitantia huic uerbo eam subiunxit numerorum seriem, quam codices *ΗΓ* recte supra (l. 5.) inserunt. *C* haecce addit: Οἷον ὡς ἐν ὑποδείγματι ἔστωσαν ἐφεξῆς οἱ ἀπὸ μονάδος

β καὶ σκοπῶ τὸ συναμφότερον, τίς ἀριθμός ἐστι, καὶ εὑρίσκω τὸν γ ἀριθμόν, ἐξ ὧν προαπεδείχθη, πρῶτον καὶ ἀσύνθετον· ἑτερώνυμον γὰρ μόριον οὐκ ἔχει, ἀλλὰ μόνον τὸ ἑαυτῷ παρώνυμον· διὰ τοῦτο αὐτὸν πολλαπλασιάζω τῇ τοῦ ὑστέρου εἰς τὴν σωρείαν ληφθέντος ποσότητι, τουτέστι τοῦ β, καὶ γεννᾶταί μοι ὁ ϛ καὶ τοῦτον ἀποφαίνομαι ἐνεργείᾳ πρῶτον εἶναι τέλειον καὶ ἔχειν μέρη ἐκεῖνα τὰ ἐνθεωρούμενα τοῖς ἀριθμοῖς, ἐξ ὧν συνέστη· μονάδα μὲν γὰρ ἐκ παρωνύμου μέρους ἕξει, ὅ ἐστι τοῦ ἕκτου, γ δὲ ἐξ ἡμίσους κατὰ τὸν β θεωρουμένου, ἀντιστρόφως δὲ δυάδα ἐκ τρίτου. ὁ δὲ κη καὶ αὐτὸς ἑτέρου προςεπισωρευθέντος τοῖς προτέροις τοῦ δ γεννᾶται τῇ αὐτῇ ἐφόδῳ· τὸ γὰρ συγκεφαλαίωμα τῶν τριῶν, τοῦ τε α καὶ β καὶ δ, γίνεται μὲν ζ, εὑρίσκεται δὲ πρῶτος καὶ 'σύνθετος· μόνον γὰρ τὸ παρώνυμον μόριον ἐπιδέχεται τὸ ἕβδομον· διὰ τοῦτο πολυπλασιάζω αὐτὸν τῇ τοῦ ἐσχάτου προςληφθέντος εἰς τὴν σωρείαν ποσότητι καὶ ἀποβαίνει μοι ὁ κη τοῖς ἰδίοις μέρεσιν ἴσος, ἔχων καὶ αὐτὸς ἐκ τῶν προηγουμένων

ἀρτιάκις ἄρτιοι ὁ α, β, δ, η, ιϛ, λβ, ξδ καὶ ἐφ' ὁσονοῦν· ἐπισωρεύω τοίνυν τῷ α κτλ. Disponantur enim omnes pariter pares numeri hoc modo: Boëth. I. 16. — 20. (p. 41) *οἷον πρῶτον τῷ α ἐπισωρεύων H*

1. *τὸν σὺν ἀμφοτέροιν P τὸν συναμφότερον mC τὸν ἐξ ἀμφοτέρου* Ast. — *τίς . . ἐστι* om. *G qui numerus factus sit* Boëth. — 2. *ἀριθμόν* om. *CSH* — *καὶ ἐξ* PG_2CSH — *προαπεδείχθη] προκατήχθη* G_1 — *πρῶτον] εὑρίσκω* praemitt. PG_2CSH — 3. *ἀσύνθετον] ὄντα τὸν γ* add. *C* — 5. *πολυπλ. S* — 6. *παραληφθέντος H* — 7. *μοι* om. *SH* — *ϛ] δὶς γὰρ τρία ϛ* add. G_2S — 8. *εἶναι* om. *H* — *μέρη] μόνα* add. *PSH* — 9. *συνέστι P* — 10. *ἐστι] ἐκ* add. *H* — *τοῦ ἀριθμοῦ ἕκτον C* — 12. *δυάδα* om. *GP* (tuetur Io. Phil. *ρ*ιη) *διάδα* G_2 — *ἐπισωρευθ. H* — 14. *αὐτῇ] αὐτοῦ* G_1 — *μεθόδῳ P* — 15. *τοῦ . . . δ'* om. G_1C *τοῦ* $\bar{\alpha}\ \bar{\beta}\ \bar{\delta}$ *S*

τὰ ἐν αὐτῷ μέρη, ἥμισυ μὲν παρὰ τὴν δυάδα, τέ-
ταρτον δὲ παρὰ τὴν ἑπτάδα, ἕβδομον δὲ παρὰ τὸ
P δ, τεσσαρεςκαιδέκατον δὲ παρὰ τὴν τοῦ ἡμίσους
24 ἀντιδιαστολήν, εἰκοστόγδοον δὲ παρὰ τὴν αὐτοῦ πα-
ρωνυμίαν, ἥτις ἐν πᾶσι μονὰς ὑπάρχει. εὑρημένων 6
δὲ τούτων, ἐν μὲν μονάσι τοῦ ς, ἐν δὲ δεκάσι τοῦ
κη, εἰς τὴν ἐφεξῆς πλάσιν τὸ αὐτό σε δεῖ ποιῆσαι.
πάλιν γὰρ ἐπισύνθες τὸν ἑξῆς τὸν η, γίνονται ὁμοῦ 7
ιε· ἐπισκοπῶν αὐτὸν εὑρίσκω οὐκέτι πρῶτον καὶ
ἀσύνθετον, πρὸς δὲ τῷ παρωνύμῳ μορίῳ ἔτι καὶ
πέμπτον ἔχει καὶ τρίτον ἑτερώνυμον· διὸ οὐ πολλα-
πλασιάζω τῷ η αὐτόν, ἀλλ' ἐπισωρεύω τὸν ἑξῆς τὸν
ις καὶ γίνεται ὁ λα· οὗτος ἐπειδὴ πρῶτος καὶ ἀσύν-
θετός ἐστιν, ἀναγκαίως πολυπλασιασθήσεται κατὰ
τὸ τῆς ἐφόδου καθολικὸν πρόσταγμα τῷ ἐσχάτῳ εἰς
τὴν σωρείαν προςληφθέντι τῷ ις καὶ γενήσεται ὁ
υϞς ἐν ἑκατοντάσιν, ἔπειτα τῷ αὐτῷ τρόπῳ καὶ
ὁ ͵ηρκη ἐν χιλιάσι, καὶ ἀεὶ οὕτως, μέχρις ἂν εὐτονῇ
τις παρέπεσθαι. ἡ ἄρα μονὰς δυνάμει, ἀλλ' οὔπω 8
ἐστὶ τέλειος ἐνεργείᾳ· ἐκ γὰρ τοῦ στίχου πρωτίστην
αὐτὴν εἰς τὴν σωρείαν λαβὼν ἐπεσκόπησα κατὰ τὸ
πρόςταγμα, ποταπή τις ὑπάρχει, καὶ εὗρον πρώτην

2. ἑπτάδα] τετράδα *S* — 2. 3. παρὰ τὸ δ] ἀριθμῶν συγκεφαλαίωμα add. *GP*, quae e margine in textum inrepsisse Astius recte iudicat; τὸ παρὰ τὸν ἑπτὰ μονάδων συγκεφαλ. G_2 παρὰ τὸ τοῦ δ συγκεφ. *C* τὸ παρὰ τὸν δ^ον ἀριθμὸν συγκεφ. *SH* *secundum omnium collectionem* Boëth. — 4. τὴν αὐτὴν τούτου παρ. *C* τὴν ἑαυτοῦ παρ. *H* — 5. εὑρησκομένων *P* — 6. δὴ τοῦ τε ἐν μονάσι τοῦ ς καὶ τοῦ ἐν δεκάσι *CSH* — 7. τὴν τῶν ἐφεξ. *CSH* — ποιεῖν *CSH* — 8. ὁμοῦ om. *H* — 11. ἔχεις *P* — ἑτερώνυμα *CSH* — πολλυπλ. *P* πολυπλ. *SH* — 14. πολλυπλ. *P* πολλαπλ. *SH* — 15. μεθόδου *PC* — 16. παραληφθέντι *H* — 21. σωτηρείαν *P* — παραλαβών *H*

καὶ ἀσύνθετον· ὡς ἀληθῶς γάρ, οὐ κατὰ μετοχὴν ὡς οἱ ἄλλοι, πρώτη τε ὑπάρχει παντὸς ἀριθμοῦ καὶ
9 ἀσύνθετος μόνη. πολυπλασιάζω οὖν αὐτὴν τῷ ληφθέντι ἐσχάτῳ εἰς τὴν σωρείαν, τουτέστιν ἑαυτῇ, καὶ
10 γεννᾶταί μοι μονάς· ἅπαξ γὰρ α μονάς. τελεία ἄρα ἐστὶ δυνάμει ἡ μονάς· ἴση γὰρ τοῖς ἰδίοις μέρεσι κατὰ δύναμιν αὕτη, οἱ δ' ἄλλοι κατ' ἐνέργειαν.

XVII ιζ. Προτετεχνολογημένου δὲ ἡμῖν περὶ τοῦ καθ' αὑτὸ ποσοῦ νῦν μετερχόμεθα καὶ ἐπὶ τὸ πρός τι.
2 τοῦ πρός τι τοίνυν ποσοῦ δύο αἱ ἀνωτάτω γενικαὶ διαιρέσεις εἰσίν, ἰσότης καὶ ἀνισότης· πᾶν γὰρ ἐν συγκρίσει πρὸς ἕτερον θεωρούμενον ἤτοι ἴσον ὑπάρ-
3 χει ἢ ἄνισον, τρίτον δὲ παρὰ ταῦτα οὐδέν. τὸ μὲν οὖν ἴσον θεωρεῖται, ὅταν τῶν συγκρινομένων τὸ ἕτερον μήτε ὑπερέχῃ μήτε ἐλλείπῃ πρὸς τὴν τοῦ λοιποῦ παραβολήν, οἷον ἑκατὸν πρὸς ἑκατὸν ἢ δέκα πρὸς δέκα ἢ δύο πρὸς δύο ἢ μνᾶ πρὸς μνᾶν ἢ τάλαντον πρὸς τάλαντον ἢ πῆχυς πρὸς πῆχυν καὶ τὰ παραπλήσια εἴτε ἐν ὄγκῳ εἴτε ἐν μήκει εἴτε ἐν
4 βάρει εἴτε ἐν ποσότητι ἡντινιοῦν. ἔστι δὲ καὶ ἰδίως ἡ σχέσις αὕτη [ἡ τῆς ἰσότητος] ἄσχιστος καθ' ἑαυτὴν

XVII. Io. Phil. ρκβ — ρκη. — Iambl. p. 48—51. — Boëth. I. 17. 18. — Schol. *ΝΓ* Nobb. p. 9. 10.

---

3. *λειφθέντι P* — 4. *ἑαυτοῦ G*$_1$ *ἑαυτῷ P* — 5. *τέλειος CH* — 7. *ἡ δ' ἄλλη H*

XVII. *Περὶ τοῦ πρός τι ποσοῦ GCμH* — 8. *Προτε G*$_2$ *τεχν. G*$_1$ *προτεχνολογουμένου S* — *ἡμῖν] ἐν τοῖς ἄνωθεν* add. *P ἐν τοῖς ἄνω CSH* — 9. *μετερχώμεθα P ἐρχόμεθα H* — 11. *εἰσιν* om. *H* — 12. *ἕτερον] πῶς* add. *SH* — *ὑπάρχῃ G* (ει supra) *-ειν P* — 13. *παρ' αὐτὰ SH* — 21. *ἡ τῆς ἰσότητος CSHΓ ἡ τῆς ποσότητος GmP* glossema arbitror. *τὴν*

P

καὶ ἀδιαίρετος, ὡς ἂν ἀρχικωτάτη, διαφορὰν γὰρ οὐδεμίαν ἐπιδέχεται· οὐ γάρ ἐστι τοῦ ἴσου τὸ μὲν τοιόνδε, τὸ δὲ τοιόνδε, ἀλλ' ἑνὶ τρόπῳ καὶ τῷ αὐτῷ τὸ ἴσόν ἐστιν. ἀμέλει καὶ τὸ ἀνθυπακοῦον τῷ ἴσῳ 5 *οὐχ ἑτερωνυμεῖ πρὸς αὐτό, ἀλλὰ συνωνυμεῖ, ὥςπερ φίλος, γείτων, συστρατιώτης, οὕτω δὴ καὶ ἴσος· ἴσῳ γάρ ἐστιν ἴσος. τὸ δὲ ἄνισον καὶ αὐτὸ καθ' ὑποδι-* 6 *αίρεσιν διχῇ σχίζεται καὶ ἔστιν αὐτοῦ τὸ μὲν μεῖζον, τὸ δὲ ἔλαττον, ἀντωνυμούμενά τε καὶ ἀντίθετα ἀλλήλοις κατὰ ποσότητα καὶ σχέσιν αὐτῶν· τὸ μὲν γὰρ μεῖζον ἑτέρου τινὸς μεῖζον, τὸ δὲ ἔλαττον ἔμπαλιν ἑτέρου τινὸς ἔλαττον ἐν συγκρίσει, καὶ τὰ ὀνόματα οὐ τὰ αὐτά, ἀλλὰ διαφέροντα ἔχει ἑκάτερα, ὡς πατὴρ καὶ υἱὸς καὶ τύπτων καὶ τυπτόμενος καὶ διδάσκων καὶ μανθάνων καὶ τὰ ὅμοια. τοῦ μὲν οὖν* 7 *μείζονος καθ' ὑποδιαίρεσιν δευτέραν εἰς πέντε εἴδη διαιρουμένου τὸ μέν ἐστι πολλαπλάσιον, τὸ δὲ ἐπιμόριον, τὸ δὲ ἐπιμερές, τὸ δὲ πολλαπλασιεπιμόριον, τὸ δὲ πολλαπλασιεπιμερές. καὶ τοῦ ἀντιθέτου δὲ* 8

τοῦ ἴσου σχέσιν Io. Phil. *ρκε.* *ἡ μὲν ἰσότης ... ἄσχιστός ἐστι* Iambl. p. 49. *Haec autem pars relatiuae ad aliquid quantitatis, id est* ***aequalitas***, *naturaliter indiuisa est* Boëth. I. 17.

1. *διαφθορὰν m* — 3. *τῷ αὐτῷ*] artic. om. *m* *αὐτὸ G* — 4. *ἴσον* bis ponunt G_2C — *ἀμέλλει P* — 5. 6. *ὡς τὸ φίλ. H* — 7. *γὰρ*] *τις* add. *C* — *καὶ αὐτὸ*] *καθ' αὐτὸ καὶ S* — 8. *διχῇ* om. G_1mP *διχάζεται S* — 10. *αὐτῶν*] *ἀντωνυμούμενα SH* — 13. *ἑκάτερον SH* — 15. *ὅμοια*] $C\mu G_2\Gamma$ haecce e Iamblichi commentario (p. 50) sumpta addunt: *μεῖζον μὲν οὖν ἐστιν, ὃ πέφυκε μετρούμενον ὑπὸ θατέρου* [*καὶ τὰ τοιαῦτα μ*] *κατὰ* [*μετὰ Γ*] *μίαν παραβολὴν ἀκαταμέτρητον* [*τι* $G_2\mu\Gamma$] *αὐτοῦ* [*αὐτοὺς μ*] *ἀπολείπειν* [*-λιπεῖν* $G_2\Gamma$] *ὁσονοῦν, ἔλαττον δέ, ὃ μετρητικὸν* [*μετρικὸν μ*] *ὂν τοῦ συζύγου μιᾷ παραβολῇ* [*μ. π.* om. *Γ*] *περισχεῖν ὅλον ἀδυνατεῖ.* — *τοῦ μὲν*] *τὸ μὲν* G_1 — 16. *καθ' ὑποδ. τοῦ μὲν μείζ. C* — *δευτέραν* om. *C* — 17. *πολυπλάσιον S*

τούτῳ, τουτέστι τοῦ ἐλάττονος, πέντε εἴδη ὁμοίως καθ' ὑποδιαίρεσιν συνίσταται ἀντικείμενα τοῖς προειρημένοις τοῦ μείζονος πέντε εἴδεσιν (ὡς ὅλον ὅλῳ, τὸ ἔλαττον τῷ μείζονι, οὕτω καὶ ἕκαστον ἑκάστῳ τῇ προλεχθείσῃ τάξει μετὰ τῆς ὑπο προθέσεως ἀντιδιαστελλόμενα), ὑποπολλαπλάσιον, ὑπεπιμόριον, ὑπεπιμερές, ὑποπολλαπλασιεπιμόριον καὶ ὑποπολλαπλασιεπιμερές.

XVIII ιη. Ἄνωθεν οὖν πολλαπλάσιόν ἐστιν εἶδος τοῦ μείζονος τὸ πρώτιστον καὶ προγενέστερον φύσει, ὡς εὐθὺς εἰσόμεθα, καὶ ἔστιν ἀριθμὸς ὁ, ἐπειδὰν ἐν συγκρίσει πρὸς ἕτερον θεωρῆται, ἔχων αὐτὸν ἐν ἑαυτῷ ὅλον πλεονάκις ἢ ἅπαξ· οἷον πρὸς τὴν μονάδα πάντες οἱ ἐφεξῆς ἀριθμοὶ ἀπὸ δυάδος ἀρξάμενοι συγκρινόμενοι τὰ τοῦ πολλαπλασίου εὔτακτα εἴδη ἀπογεννῶσι τῇ οἰκείᾳ ἀκολουθίᾳ· πρῶτος μὲν γὰρ ὁ β διπλάσιος καὶ ἔστι καὶ λέγεται, ὁ δὲ γ τρι-

XVIII. Io. Phil. ρκθ—ρλδ. — Iambl. p. 51. 52. — Boëth. I. 19. — Schol. *ΝΓ* Nobb. p. 10.

1. τούτῳ om. *S* — τουτέστι] ἤτοι *S* — εἴδι G_1 — 2. συνίστανται *C* — 3. πέντε om. *C* — 4. ἔλαττον] δηλαδὴ *C* in mg., quod *μ* in textum recepit. — 6. ὑποπολλ.]
επι G_2
τε καὶ . . . καὶ . . . καὶ add. *SH* — καὶ ὑπο μερές *G* ὑποεπιμερές *S* Iambl. reliqua om. G_1

XVIII. Περὶ τοῦ πολλαπλασίου καὶ τῶν τούτου εἰδῶν *Cμ* — 9. 10. τοῦ μείζονος om. *C* — 10. προγενέστατον *CSH* — 11. καὶ ἔστιν addidi, cf. p. 47 lin. 5. 6. —
τ G_2
ὁ *P* ὅς codd. ὅς .. ἔχει *C* — ἐπιδὰν *G* — 12. θεωρῆ////αι G_1 θεωρεῖται *P* — 13. ἢ ἅπαξ. cf. Io. Phil. ρκθ. — 16. ἀπογεννῶσι *CSH* ἀπογυμνοὶ *GmP* — ἀκολουθείᾳ *G* — πρῶτον *S* — 17. λέγεται] τῆς μονάδος δηλονότι add *S* — γ]
α G_2
τρίτος G_1m

πλάσιος, ὁ δὲ δ τετραπλάσιος, καὶ ἐπ' ἄπειρον· τὸ γὰρ πλεονάκις ἢ ἅπαξ ἤτοι δὶς ἢ τρὶς σημαίνει ἢ ἐφεξῆς, μέχρις οὗ βούλει. ἀντιδιέσταλται δὲ τούτῳ 2
P τὸ ὑποπολλαπλάσιον καὶ αὐτὸ φύσει πρώτιστον
26 ὑπάρχον ἐν τῷ ἐλάττονι τῆς ἀνισότητος μέρει, καὶ ἔστιν ἀριθμὸς ὁ, ἐπειδὰν μείζονι συγκρίνηται, δυνάμενος μετρεῖν αὐτὸν πληρούντως πλεονάκις ἢ ἅπαξ, τὸ δὲ πλεονάκις ἢ ἅπαξ ἀπὸ τοῦ δὶς ἄρχεται καὶ ἐπ' ἄπειρον πρόεισιν. ἐὰν μὲν οὖν δὶς μόνον 3
μετρῇ τὸν ἐν συγκρίσει μείζονα, ὑποδιπλάσιος λέγεται ἰδίως, ὥςπερ τὸ α τῶν β, ἐὰν δὲ τρίς, ὑποτριπλάσιος, ὥςπερ τῶν γ τὸ α, ἐὰν δὲ τετράκις, ὑποτετραπλάσιος, ὥςπερ τὸ αὐτὸ α τῶν δ, καὶ ἐφεξῆς οὕτως. γενικῶς δὲ ἀπείρου ὑπάρχοντος ἑκατέρου, 4
τοῦ τε πολλαπλασίου καὶ τοῦ ὑποπολλαπλασίου, ἔτι καὶ αἱ καθ' ὑποδιαίρεσιν διαφοραὶ καὶ τὰ εἴδη ἐπ' ἄπειρον φύσει προιόντα θεωρεῖται· τὸ γὰρ διπλάσιον ἀρχόμενον ἀπὸ τοῦ β διὰ πάντων ἀρτίων πρόεισιν, ἕνα παρ' ἕνα λαμβανόντων ἡμῶν τοὺς ἀριθμοὺς ἀπὸ τοῦ φυσικοῦ χύματος· ἐν συγκρίσει δὲ οὗτοι διπλάσιοι λεχθήσονται πρὸς τοὺς ἀπὸ μονάδος ἑξῆς κειμένους ἀρτίους τε καὶ περισσούς. τριπλάσιοι 5
δὲ πάντες εἰσὶν οἱ ἀπ' ἀρχῆς δύο παραλειπομένων ἐκλεγόμενοι τρίτοι τῇ τάξει, οἷον

---

1. ὁ δὲ δ τετρ. om. *H* καὶ ὁ ε πενταπλάσιος add. *PC* — 2. σημαίνει] συμβαίνει *H* — 3. μέχρ. οὗ] προχωρεῖν add. *CSH* — 6. ὁ *P* ὃς codd. ὃς . . δύναται *C* — μείζοσι *P* — 7. πληροῦντα *G*₁*m* — 7. 8. τὸ δὲ . . . ἅπαξ om. *mμ* — 13. τοῦ γ τὸ αὐτὸ α *CSH* — 14. τοῦ δ *GS* — 17. τῇ φύσει *CSH* — θεωροῦνται *CSH* — 18. διὰ] ἐπὶ *S* — 19. παρ' ἕνα] τῶν ἀριθμῶν add. *H* — τοὺς ἀριθμοὺς om. *P* — 20. φυσικοῦ] φύσει *P* — 22. κειμένους] ἀριθμοὺς add. *H* — 23. πάντως *G* πάντες rel. Io. Phil. ρλγ.

γ, ϛ, ϑ, ιβ, ιε, ιη, κα, κδ,

οἷς συμβέβηκεν ἕνα παρ' ἕνα ἀρτίοις τε καὶ περισσοῖς εἶναι, καὶ αὐτοὶ δὲ ἐν τῷ ἀπὸ τῆς μονάδος ἀριθμῷ εὐτάκτῳ τῶν ἐφεξῆς πάντων τριπλάσιοί εἰσι προχωροῦντες, ἐφ' ὅσον βούλεταί τις παρακολου-
6 θεῖν. τετραπλάσιοι δέ εἰσιν οἱ τριῶν παραλειπομένων πάντη τέταρτοι, οἷον

δ, η, ιβ, ιϛ, κ, κδ, κη, λβ

καὶ ἐφεξῆς, καὶ οὗτοι δὲ τῶν ἀπὸ μονάδος εὐτάκτων τετραπλάσιοί εἰσι προιόντες, ἐφ' ὅσον ἂν εὐτονῇ τις ἕπεσθαι· συμβέβηκε δὲ καὶ τούτοις πάντας εἶναι ἀρτίους· ἕνα γὰρ παρ' ἕνα μόνον παραλειπτέον ἐξ αὐτῶν τῶν ἄνωθεν διακεκριμένων ἀρτίων, ὥςτε ἀναγκαίως ὑπάρχειν τοῖς ἁπλῶς ἀρτίοις διπλασίοις μὲν ἅπασιν εἶναι, τετραπλασίοις δὲ ἕνα παρ' ἕνα καὶ ἑξαπλασίοις ἕνα παρὰ δύο καὶ ὀκταπλασίοις ἕνα παρὰ τρεῖς, καὶ ἐπ' ἄπειρον οὕτως ἀνάλογον ἡ προ-
7 κοπή. πενταπλάσιοι δὲ ὀφθήσονται οἱ τέσσαρας μὲν παραλείποντες, πέμπτοι δὲ τεταγμένοι ἀπ' ἀλλήλων καὶ αὐτοὶ δὲ τῶν ἀπὸ μονάδος ἑξῆς τεταγμένων ἀριθμῶν πενταπλάσιοι, καὶ εἷς παρ' ἕνα περισσὸς καὶ ἄρτιος κατὰ τὴν αὐτὴν τῶν τριπλασίων τάξιν.

---

1. κδ] καὶ ἐφεξῆς add. *H* — 3. αὐτοὶ] οὗτοι *CSH* — 4. τῷ ἐφεξῆς *P* — εἰσι om. *GmP* — 5. βούλονται *P* — 5. 6. ἐφ' ὅσον ἂν τις εὐτονῇ ἕπεσθαι *SH* — 9. καὶ ἐφεξῆς om. *C* — 10. εὐτοκῇ *G* — 11. τις om. G_1 — 10. 11. εἰς ὅσον βούλεταί τις παρακολουθεῖν *CSH* — 11. 12. πᾶσιν ... ἀρτίοις *CSH* — 12. μόνον om. *CS* — 14. ἀναγκαῖον *SH* — ὑπάρχειν om. *SH* — 15. εἶναι Ast add. — 15. 16. ὥςπερ καὶ ἑξαπλ. *PSH* ὥςπερ ἑξ. *C* — 16. ἑξαπλάσιοι *G* — ὀκταπλάσιοι *GP* — 17. ἀνάλογος *H* — 20. ἑξῆς τεταγμ.] ἐφεξῆς συνεχῶν *C*. — 23. τάξειν *P*

P
27 ιθ. Ἐπιμόριος δέ ἐστιν ἀριθμός, τὸ τοῦ μείζο- XIX
νος δεύτερον τῇ φύσει εἶδος καὶ τῇ τάξει, ὁ ἔχων
ἐν ἑαυτῷ τὸν συγκρινόμενον ὅλον καὶ μόριον αὐ-
τοῦ ἕν τι. ἀλλ' ἐὰν μὲν ἥμισυ ᾖ τὸ μόριον, καλεῖ- 2
ται ἡμιόλιος εἰδικῶς ὁ τῶν συγκρινομένων μείζων,
ὑφημιόλιος δὲ ὁ ἐλάσσων· ἐὰν δὲ τρίτον, ἐπίτριτός
τε καὶ ὑπεπίτριτος, καὶ ἀεὶ οὕτως μέχρι παντὸς
προχωροῦντι συμφωνήσει σοι, ὥςτε καὶ ταῦτα ἐπ'
ἄπειρον τὰ εἴδη πρόεισι καίτοι ἀπείρου τινὸς εἴδη
ὄντα γένους· τὸ μὲν γὰρ πρώτιστον αὐτῶν τὸ ἡμιό-
λιον συμβαίνει τοὺς μὲν ὑπολόγους ἔχειν τοὺς ἀπὸ
δυάδος ἐφεξῆς ἀρτίους, ἄλλον δὲ οὐδαμῶς οὐδένα,
τοὺς δὲ προλόγους τοὺς ἀπὸ τριάδος ἐφεξῆς τριπλα-
σίους, ἄλλον δὲ οὐδένα. συζευκτέον δὲ αὐτοὺς εὐ- 3
τάκτως πρῶτον πρώτῳ, δεύτερον δευτέρῳ, τρίτον
τρίτῳ,

τὸν γ τῷ β, τὸν ϛ τῷ δ, τὸν ϑ τῷ ϛ,
τὸν ιβ τῷ η,

καὶ τοὺς ἀναλόγους τοῖς ὁμοταγέσιν. ἐὰν δὲ ἐπι- 4
σκέψασθαι θέλωμεν τὸ δεύτερον εἶδος τοῦ ἐπιμο-
ρίου, τουτέστι τὸ ἐπίτριτον (συνεχὲς γὰρ μέρος αὐ-
τοῦ φυσικῶς μετὰ τὸ ἥμισυ ὑπάρχει τὸ τρίτον), ὅρον
μὲν αὐτοῦ ἕξομεν τοῦτον· ἀριθμὸς ὁ ἔχων ἐν ἑαυτῷ

XIX. Io. Phil. ρλε—ρνϛ. — Iambl. p. 52—58. — Boëth. I. 20—22. — Schol. *ΝΓ* Nobb. p. 11—15.

XIX. *Περὶ* [*τοῦ m*] *ἐπιμορίου GmPC* — 2. τάξει . . . φύσει *CSH* — 4. 5. τι ἓν αὐτοῦ *CSH* — 7. ὑπεπίτριτος] ἐὰν δὲ τέταρτον, ἐπιτέταρτός τε καὶ ὑπεπιτέταρτος add. *CSH* cf. Iambl. p. 56. — ἀεὶ om. *CSH* — 9. καίτοι *mP*, *H* in mg., Io. Phil. ρλε. ////το// G_1 ἅτε G_2*CSH* — 13. 14. τοὺς δὲ . . . οὐδένα bis habet *G* — 16. τρίτῳ] γ *P* οἷον add. *CSH* — 17. τὸν γ τῷ β] τὸν τρίτον τῷ δευτέρῳ G_1 — 21. 22. αὐτοῦ ante φυσ. om. *SH* — 23. ὁ om. *G*

ὅλον τε τὸν συγκρινόμενων καὶ μέρος αὐτοῦ τρίτον
πρὸς τῷ ὅλῳ. ὑποδείγματα δὲ αὐτοῦ εὔτακτα λη-
φθήσεται ἡμῖν οἱ ἀπὸ τετράδος συνεχεῖς τετραπλά-
σιοι συνεξευγμένοι τοῖς ἀπὸ τριάδος τριπλασίοις
ὁμοταγεῖς ὁμοταγέσιν, οἷον

ὁ δ τῷ γ, ὁ η τῷ ς, ὁ ιβ τῷ ϑ,

5 καὶ κατὰ ταὐτὰ ἐφ ὁσονοῦν. δῆλον δέ, ὅτι ὁ ἀνθυ-
πακούων τῷ ἐπιτρίτῳ, λεγόμενος δὲ σὺν τῇ ὑπο
προθέσει ὑπεπίτριτος, ἐστὶν ὁ ἐμπεριεχόμενος ἐκείνῳ
ὅλος τε καὶ προςέτι ἑαυτοῦ τρίτον, ὡς

ὁ μὲν γ τῷ δ, ὁ δὲ ς τῷ η, ὁ δὲ ϑ τῷ ιβ,

6 καὶ οἱ ἀκόλουθοι τῶν ὁμοταγῶν. παρατηρητέον δὲ
τὸ παρεπόμενον πᾶσι τούτοις γλαφυρόν, ὅτι οἱ μὲν
πρῶτοι καὶ πυθμένες λεγόμενοι ἐγγύς εἰσιν ἀλλή-
λων ἐν τῷ φυσικῷ χύματι, οἱ δὲ δεύτεροι ἀπὸ
πυθμένος ἕνα μόνον ἀριθμὸν διαλείπουσιν, οἱ δὲ
τρίτοι δύο, οἱ δὲ τέταρτοι τρεῖς καὶ οἱ πέμπτοι τέσ- P
7 σαρας καὶ ἀεὶ οὕτως, μέχρις οὗ βούλει. ἔτι γε 28
μὴν καί, ὅτι τὸ μόριον, οὗ παρώνυμος ἕκαστός ἐστι
τῶν ἐπιμορίων, ἐν τοῖς ἥττοσι θεωρεῖται τῶν πυθ-
8 μένων, ἐν δὲ τοῖς μείζοσιν οὐδαμῶς. ὅτι δὲ φυσι-
κῶς καὶ οὐχ ἡμῶν θεμένων, ἀρχεγονώτερον τὸ

---

2. πρὸς τῷ ὅλῳ] hucusque cod. *m* — ληφθήσονται *S*, *H* in mg. — 4. συζευγνύμενοι *S* — τῆς ἀπὸ τρ. *P* — 6. ϑ] ὁ ις τῷ ιβ add. *CSH* — 10. ὅλως *G* — αὐτοῦ *SH* — ὡς] οἷον *C* om. *S* — 15. 16. ἀπὸ πυθμ. om. *S* πυθμένων *P* — 16. μόνον] μέσον *SH* om. ἀρ. — 18. οὕτως ἀεὶ προιόντι μέχρ. *SH* — 19. τὸ G_2C om. reliqui. — 20. τῶν πυθμένων om *C* — *G* hocce adscribit schema:

ἡμιόλιοι	γ	ς	ϑ	ιβ	ιε	ιη	κα	κδ	κζ	λ	λγ	λς	λϑ	μβ	με
ὑφημιόλιοι	β	δ	ς	η	ι	ιβ	ιδ	ις	ιη	κ	κβ	κδ	κς	κη	λ
ἐπίτριτοι	δ	η	ιβ	ις	κ	κδ	κη	λε	λς	μ	μδ	μη	νβ	νς	ξ
ὑπεπίτριτοι	γ	ς	ϑ	ιβ	ιε	ιη	κα	κδ	κζ	λ	λγ	λς	λϑ	μβ	με

— 21. ὅτι] ἔτι *P* —22. ἐκθεμένων *SH*

πολλαπλάσιον καὶ πρεσβύτερον τοῦ ἐπιμορίου, καὶ ἐν τοῖς ἑξῆς μὲν ποικιλώτερον εἰσόμεθα, ὅσον οὔπω· κἀνταῦθα δὲ πρὸς ἁπλῆν ἔμφασιν προχειριστέον κατ' εὐτάκτους καὶ παραλλήλους στίχους τοὺς προφρασθέντας ἡμῖν πολλαπλασίους εἰδικῶς, πρῶτον διπλάσιον ἐν ἑνὶ στίχῳ, εἶτα ἐν δευτέρῳ τριπλάσιον, εἶτα τετραπλάσιον ἐν τρίτῳ καὶ μέχρι δεκαπλασίων, ἵνα καὶ τάξιν καὶ ποικιλίαν αὐτῶν καὶ πρόβασιν ἔντεχνον καὶ ὅ τι πρότερον φύσει κατίδωμεν καὶ δὴ καὶ ἕτερά τινα τερπνὰ καὶ γλαφυρὰ παρακολουθήματα. ἔστω δὲ τὸ διάγραμμα 9
τοιοῦτον·

μῆκος

βάθος

α	β	γ	δ	ε	ϛ	ζ	η	ϑ	ι
β	δ	ϛ	η	ι	ιβ	ιδ	ιϛ	ιη	κ
γ	ϛ	ϑ	ιβ	ιε	ιη	κα	κδ	κζ	λ
δ	η	ιβ	ιϛ	κ	κδ	κη	λβ	λϛ	μ
ε	ι	ιε	κ	κε	λ	λε	μ	με	ν
ϛ	ιβ	ιη	κδ	λ	λϛ	μβ	μη	νδ	ξ
ζ	ιδ	κα	κη	λε	μβ	μϑ	νϛ	ξγ	ο
η	ιϛ	κδ	λβ	μ	μη	νϛ	ξδ	οβ	π
ϑ	ιη	κζ	λϛ	με	νδ	ξγ	οβ	πα	ϟ
ι	κ	λ	μ	ν	ξ	ο	π	ϟ	ρ

ἐκκείσθω ἐν μὲν τῷ πρώτῳ στίχῳ ὁ ἀπὸ 10

2. *ποικιλότερον P ποιητικώτερον G* — 3. *ἐγχειριστέον S* — 5. *προφρανθέντας G* — 6. 7. *διπλασίους ... τριπλασίους ... τετραπλασίους CSH* — 9. *τίνες πρότεροι CSH* — 10. 11. *καὶ δὴ . . . παρακολ.* om. *C* — 13. *μῆκος GP longitudo* Boëth. 24. *πλάτος* cet. cf. p. 52 l. 4. — 24. *ἐκκείσθωσαν CSH* — *τῷ* om. *H* — *ὁ* addidi, *οἱ CSH*

ὅλον τε τὸν συγκρινόμενων καὶ μέρος αὐτοῦ τρίτον
πρὸς τῷ ὅλῳ. ὑποδείγματα δὲ αὐτοῦ εὔτακτα λη-
φθήσεται ἡμῖν οἱ ἀπὸ τετράδος συνεχεῖς τετραπλά-
σιοι συνεξευγμένοι τοῖς ἀπὸ τριάδος τριπλασίοις
ὁμοταγεῖς ὁμοταγέσιν, οἷον

ὁ δ τῷ γ, ὁ η τῷ ς, ὁ ιβ τῷ θ,

5 καὶ κατὰ ταὐτὰ ἐφ ὁσονοῦν. δῆλον δέ, ὅτι ὁ ἀνθυ-
πακούων τῷ ἐπιτρίτῳ, λεγόμενος δὲ σὺν τῇ ὑπο
προθέσει ὑπεπίτριτος, ἐστὶν ὁ ἐμπεριεχόμενος ἐκείνῳ
ὅλος τε καὶ προσέτι ἑαυτοῦ τρίτον, ὡς

ὁ μὲν γ τῷ δ, ὁ δὲ ς τῷ η, ὁ δὲ θ τῷ ιβ,

6 καὶ οἱ ἀκόλουθοι τῶν ὁμοταγῶν. παρατηρητέον δὲ
τὸ παρεπόμενον πᾶσι τούτοις γλαφυρόν, ὅτι οἱ μὲν
πρῶτοι καὶ πυθμένες λεγόμενοι ἐγγύς εἰσιν ἀλλή-
λων ἐν τῷ φυσικῷ χύματι, οἱ δὲ δεύτεροι ἀπὸ
πυθμένος ἕνα μόνον ἀριθμὸν διαλείπουσιν, οἱ δὲ
τρίτοι δύο, οἱ δὲ τέταρτοι τρεῖς καὶ οἱ πέμπτοι τέσ-
7 σαρας καὶ ἀεὶ οὕτως, μέχρις οὗ βούλει. ἔτι γε P 28
μὴν καί, ὅτι τὸ μόριον, οὗ παρώνυμος ἕκαστός ἐστι
τῶν ἐπιμορίων, ἐν τοῖς ἥττοσι θεωρεῖται τῶν πυθ-
8 μένων, ἐν δὲ τοῖς μείζοσιν οὐδαμῶς. ὅτι δὲ φυσι-
κῶς καὶ οὐχ ἡμῶν θεμένων, ἀρχεγονώτερον τὸ

---

2. πρὸς τῷ ὅλῳ] hucusque cod. *m* — ληφθήσονται *S*, *H* in mg. — 4. συζευγνύμενοι *S* — τῆς ἀπὸ τρ. *P* — 6. θ] ὁ ις τῷ ιβ add. *CSH* — 10. ὅλως *G* — αὐτοῦ *SH* — ὡς] οἷον *C* om. *S* — 15. 16. ἀπὸ πυθμ. om. *S* πυθμένων *P* — 16. μόνον] μέσον *SH* om. ἀρ. — 18. οὕτως ἀεὶ προιόντι μέχρ. *SH* — 19. τὸ G_2C om. reliqui. — 20. τῶν πυθμένων om *C* — *G* hocce adscribit schema:

ἡμιόλιοι	γ	ς	θ	ιβ	ιε	ιη	κα	κδ	κζ	λ	λγ	λς	λθ	μβ	με
ὑφημιόλιοι	β	δ	ς	η	ι	ιβ	ιδ	ις	ιη	κ	κβ	κδ	κς	κη	λ
ἐπίτριτοι	δ	η	ιβ	ις	κ	κδ	κη	λε	λς	μ	μδ	μη	νβ	νς	ξ
ὑπεπίτριτοι	γ	ς	θ	ιβ	ιε	ιη	κα	κδ	κζ	λ	λγ	λς	λθ	μβ	με

— 21. ὅτι] ἔτι *P* —22. ἐκθεμένων *SH*

πολλαπλάσιον καὶ πρεσβύτερον τοῦ ἐπιμορίου, καὶ ἐν τοῖς ἑξῆς μὲν ποικιλώτερον εἰσόμεθα, ὅσον οὔπω· κἀνταῦθα δὲ πρὸς ἁπλῆν ἔμφασιν προχειριστέον κατ' εὐτάκτους καὶ παραλλήλους στίχους τοὺς προφρασθέντας ἡμῖν πολλαπλασίους εἰδικῶς, πρῶτον διπλάσιον ἐν ἑνὶ στίχῳ, εἶτα ἐν δευτέρῳ τριπλάσιον, εἶτα τετραπλάσιον ἐν τρίτῳ καὶ μέχρι δεκαπλασίων, ἵνα καὶ τάξιν καὶ ποικιλίαν αὐτῶν καὶ πρόβασιν ἔντεχνον καὶ ὅ τι πρότερον φύσει κατίδωμεν καὶ δὴ καὶ ἕτερά τινα τερπνὰ καὶ γλαφυρὰ παρακολουθήματα. ἔστω δὲ τὸ διάγραμμα 9 τοιοῦτον·

μῆκος

πλάτος

α	β	γ	δ	ε	ϛ	ζ	η	ϑ	ι
β	δ	ϛ	η	ι	ιβ	ιδ	ιϛ	ιη	κ
γ	ϛ	ϑ	ιβ	ιε	ιη	κα	κδ	κζ	λ
δ	η	ιβ	ιϛ	κ	κδ	κη	λβ	λϛ	μ
ε	ι	ιε	κ	κε	λ	λε	μ	με	ν
ϛ	ιβ	ιη	κδ	λ	λϛ	μβ	μη	νδ	ξ
ζ	ιδ	κα	κη	λε	μβ	μϑ	νϛ	ξγ	ο
η	ιϛ	κδ	λβ	μ	μη	νϛ	ξδ	οβ	π
ϑ	ιη	κζ	λϛ	με	νδ	ξγ	οβ	πα	ϟ
ι	κ	λ	μ	ν	ξ	ο	π	ϟ	ρ

ἐκκείσθω ἐν μὲν τῷ πρώτῳ στίχῳ ὁ ἀπὸ 10

2. ποικιλότερον P ποιητικώτερον G — 3. ἐγχειριστέον S — 5. προφρανθέντας G — 6. 7. διπλασίους ... τριπλασίους .... τετραπλασίους CSH — 9. τίνες πρότεροι CSH — 10. 11. καὶ δὴ . . . παρακολ. om. C — 13. μῆκος GP *longitudo* Boëth. 24. πλάτος cet. cf. p. 52 l. 4. — 24. ἐκκείσθωσαν CSH — τῷ om. H — ὁ addidi, οἱ CSH

μονάδος φυσικὸς ἀριθμός, εἶτα ἑξῆς οἱ κελευσθέν-
11 *τες τῶν τοῦ πολλαπλασίου εἰδῶν. οὐκοῦν τῶν μὲν*
πρώτων στίχων ἀρχομένων ἀπὸ μονάδος ἐπί τε
πλάτος καὶ ἐπὶ βάθος γαμμοειδῶς οἱ δεύτεροι ἐφ' P
ἑκάτερα καὶ αὐτοὶ γαμμοειδῶς ἀπὸ τετράδος ἀρχό- 29
μενοι πολλαπλάσιοί εἰσι κατὰ τὸ πρῶτον εἶδος τοῦ
πολλαπλασίου, διπλάσιοι γάρ, καὶ ὁ μὲν πρῶτος
τοῦ πρώτου μονάδι διαφέρων, ὁ δὲ δεύτερος τοῦ
δευτέρου δυάδι καὶ ὁ τρίτος τοῦ τρίτου τριάδι
καὶ τετράδι οἱ συνεχεῖς καὶ πεντάδι οἱ μετ' αὐτοὺς
καὶ τοῦτο μέχρις ὅλου ἀκόλουθον εὑρήσεις· οἱ δὲ
τρίτοι ἐφ' ἑκάτερα ἀπὸ ἐνάδος κοινῆς ἀρχόμενοι τῶν ἐν
τῷ αὐτῷ πρώτῳ στίχῳ κατὰ τὸ δεύτερον εἶδος τοῦ
πολλαπλασίου τριπλάσιοι ἔσονται συνεξεταζομένων
αὐτοῖς καὶ τῶν εἰς τριάδα ἑκατέρωθεν χιασμῶν.
12 *συμπροκόψει δὲ καὶ ἡ διαφορὰ τούτοις κατὰ τὴν τῶν*
ἀρτίων φύσιν, τῷ μὲν πρώτῳ δυὰς οὖσα, τῷ δὲ
ἐφεξῆς τετράς, τῷ δὲ τρίτῳ ἑξάς, ἣν καὶ διαφορὰν
αὐτομάτως ἡμῖν ἡ φύσις ἐμεσεμβόλησε μεταξὺ τού-
των τῶν ἐξεταζομένων, ὡς ἐν τῷ διαγράμματι φαί-
13 *νεται. ὁ δὲ τέταρτος στίχος, οὗ κοινὴ μὲν ἀρχὴ ἐφ'*
ἑκάτερα ὁ ιϛ, οἱ δὲ χιασμοὶ περαιοῦνται εἰς τὰς
τετράδας, τὸ τρίτον εἶδος τοῦ πολλαπλασίου δει-
κνύντες, τουτέστι τὸ τετραπλάσιον, πρὸς τὸν αὐτὸν

---

1. *φυσικοὶ* PH *-ῶς* CS — *ἀριθμοὶ* PCH om. S — *καλεσθέντες* H — 3. *πρωτίστων* H — 4. *πλάτος*] *μῆκος* H Io. Phil. *ρμ.* — *γ//αμμοειδῶς* bis G (erasum uidetur ρ) — 5. *ἑκατέρου* G *-ον* S — *τετράδ* G_1 *-ος* G_2 in ras. — 6. *τὸ* om. GP — 8. *τοῦ* ter om. C — 9. *διάδι* G — 11. *ὅλου* P om. G *τέλους* CSH — 12. *ἑνάδος* GP *ἐννάδος* SH *ἐννεάδος* C — 13. *αὐτῷ* om. P — 15. *καὶ τῶν*] *διὰ τῶν* S — 17. *τῶν μὲν πρώτων* G — *διάς* P — 19. *τούτων* om. SH — 20. *ἀντεξεταζομένων* SH — 22. *περατοῦνται* H — 23. *δείκνυσι* C

ἐξεταζόμενοι πρώτιστον στίχον ὁμοταγῶς, πρώτου μὲν ἀριθμοῦ πρὸς πρῶτον, δευτέρου δὲ πρὸς δεύτερον καὶ τρίτου πρὸς τρίτον καὶ ἐφεξῆς· πάλιν δὲ αἱ τούτων διαφοραὶ τριάς, ἑξάς, εἶτα ἐνάς, εἶτα δωδεκὰς καὶ αἱ κατὰ τριάδος προκοπὴν ποσότητες· καὶ αὗται ἐν τῷ τοῦ διαγράμματος ὕφει πεφώρανται τάξει ἐκκείμεναι ὑπὲρ αὐτοὺς τοὺς τετραπλασίους καὶ ἐπὶ τῶν ἀκολούθων τοῦ πολλαπλασίου εἰδῶν τὸ ἀνάλογον μέχρι παντὸς προχωρεῖ. πρὸς δὲ τὸν 14
ἐφ' ἑκάτερα δεύτερον στίχον ἀπὸ κοινῆς ἀρχῆς τοῦ δ ἀρχόμενον, ὑπερεκπίπτοντα δὲ κατὰ χιασμὸν εἰς ἰδίαν ἑκατέρων δυάδα, οἱ ὑποβεβηκότες τάξει στίχοι τοῦ ἐπιμορίου τὸ πρώτιστον εἶδος παρεμφαίνουσι, τουτέστι τὸ ἡμιόλιον, ὁμοταγεῖς πρὸς ὁμοταγεῖς· οὕτω φύσει θείᾳ καὶ οὐ νόμῳ ἡμετέρῳ οὐδὲ συνθήματι μεταγενέστεροι τῶν πολλαπλασίων οἱ ἐπιμόριοι, οἷον

ὁ μὲν γ τοῦ β, ὁ δὲ ς τοῦ δ, ὁ ϑ τοῦ ς,
ὁ ιβ τοῦ η, ὁ ιε τοῦ ι,

καὶ μέχρι παντός· διαφορὰν δὲ καὶ οὗτοι ἔχουσι τοὺς ἀπὸ μονάδος ἐφεξῆς ἀριθμούς, ὡς οἱ πρὸ αὐτῶν.

P
30 *Ἐπίτριτοι δέ, τὸ τοῦ ἐπιμορίου δεύτερον εἶδος,* 15
ἴσῃ τινὶ καὶ ὁμοίᾳ προκοπῇ προχωροῦσιν ἀπὸ

---

1. ἐξεταζόμενον *G* — ὁμοτάσεως *P* — 1–3. πρῶτον μὲν ἀριθμοῦ ... δεύτερον δὲ ... καὶ τρίτον *G* — 3. 4. αἱ τούτων διαφ.] αἱ διαφοραὶ τῶν ἐξεταζομένων *S* — 4. ἐνάς *GP* ἐννάς *H* — 5. τριάδα *G* — 9. προχωρήσει *PSH* — 10. κοινῆς] μὲν add. G_2 ἀπὸ μὲν κ. *PSH* — 12. ἑκατέρο//////ν δυάδ/// G_1 ἑκατέρου τὴν δυάδα corr. G_2 ἑκατέρωθεν *CH* (*H* in mrg. ἑκατέρου) — 16. πολυπλ. *S* — οἷον om. *S* — 17. 18. δὲ quater *CSH* — 19. διαφορὰς *H*

XIX, 15. *Περὶ τοῦ ἐπιτρίτου G* — 22. μορίου G_1 ἐπι add. G_2 —

τοῦ δ πρὸς τὸν γ καὶ η πρὸς ϛ
καὶ ιβ πρὸς ϑ καὶ ις πρὸς ιβ,
καὶ ἀκολούθως ἴσην καὶ τὴν τῶν διαφορῶν αὔξησιν
16 λαμβάνοντες. καὶ ἐπὶ τῶν λοιπῶν σχέσεων πολλα-
πλασίου τε καὶ ἐπιμορίου σύμφωνα τὰ ἀποτελέσματα
καὶ οὐδαμῶς ἐναντιούμενα προβαίνων ἐπ' ἄπειρον
17 ὄψει. κἀκεῖνο δὲ οὐκ ἐλάττονος ἀκριβείας τέτευχεν
ἐν τῷ διαγράμματι· ἐπιγώνιοι μὲν γὰρ αὐτῶν εἰσι
μονάδες, ἡ μὲν κατ' ἀρχὴν ἁπλῆ, ἡ δὲ ἐπὶ τέλει
τριοδουμένη, δευτεροδούμεναι δὲ ἐν διφορήσει αἱ δύο
18 λοιπαί, ὥςτε ἀποτελεῖν τὸ ὑπό¯ ἴσον τῷ ἀπό¯. ἀλλὰ καὶ
ἑκατέρωθεν ἴση πρόβασις ἀπὸ μονάδος εἰς τὰς δεκά-
δας καὶ πάλιν ἀντιθέτως ἑκάτεραι αἱ ἀπὸ δεκάδος
19 προχωρήσεις εἰς ἑκατοντάδα. καὶ οἱ μὲν διαγώνιοι οἱ
ἀπὸ μονάδος εἰς ἑκατοντάδα τετράγωνοι πάντως
ἀριθμοὶ ἰσάκις ἴσοι μηκυνθέντες, οἱ δὲ ἑκατέρωθεν
παρασπίζοντες αὐτοὺς ἑτερομήκεις πάντως ἄνισοι
καὶ μονάδι μείζοσιν ἀλλήλων πλευραῖς μηκυνθέντες·
ὥςτε ἐξ ἅπαξ δύο ἐφεξῆς τετραγώνων καὶ δὶς τοῦ
ἀνὰ μέσον αὐτῶν ἑτερομήκους τετράγωνον πάντως
ἀποτελεῖσθαι καὶ ἀνάπαλιν ἐξ ἅπαξ δύο παρακει-
μένων ἑτερομηκῶν καὶ δὶς τοῦ ἀνὰ μέσον αὐτῶν
τετραγώνου τετράγωνον πάντως ἀποτελεῖσθαι.

---

1. 2. articulum omnibus numeris add. *C* — 1. δ] τετάρτου *P* — 3. ἴσην] τοῖς πρὸ αὐτῶν add. G_2SH — 4. λοιπῶν] δὲ add. G_2SH — 7. 8. τέτευχεν ... διαγρ. om. *C* — 10. τριωδουμένη ... δευτερωδ. G_1PH — διαφορήσει *PC* cf. Io. Phil. ρμθ, ubi bis legendum διφορήσει. — 13. ἀντιθετέρου G_1 — ἑκάτεραι om. *P* del. G_2 ἑκατέρωσε *C* -ωθεν *SH* — ἐκ δεκάδων G_2 — 15. πάντες G_2CS — 16. ἀριθμοί] εἰσιν add. *C* — ἴσοι] ἴσως *PS* — 17. ἀνίσοις G_2CS — 18. μονάδ/// G_1 -σι G_2 — μείζονες *SH* — 19. ἐξ om. *P* — 21—23. καὶ ἀνάπαλιν ... ἀποτελεῖσθαι om. *H* — 23. πάντως om. *C*

Καὶ ἕτερα πολλὰ τοιαῦτα φιλοτιμούμενος εὕροι 20
τις ἂν τερπνὰ ἐμφαινόμενα τῷδε τῷ διαγράμματι, περὶ ὧν οὐ καιρὸς νῦν μηκύνειν· οὔπω γὰρ τὴν ἐπίγνωσιν αὐτῶν ἐκ τῆς εἰςαγωγῆς εἰλήφαμεν, ὥςτε ἐπὶ τὰ ἑξῆς τρεπτέον· μετὰ γὰρ τὰς δύο ταύτας γενικὰς σχέσεις πολλαπλασίου καὶ ἐπιμορίου καὶ τὰς ἀντιθέτους αὐταῖς σὺν τῇ ὑπο προθέσει ἐκφερομένας ἄλλας δύο ὑποπολλαπλάσιόν τε καὶ ὑπεπιμόριον εἰσὶν ἐν μὲν τῷ μείζονι τοῦ ἀνίσου μέρει ἡ ἐπιμερής, ἐν δὲ τῷ ἐλάττονι ἡ ἀντικειμένη αὐτῇ ἡ ὑπεπιμερής.

P κ. Ἔστι δὲ ἐπιμερὴς μὲν σχέσις, ὅταν ἀριθμὸς XX
31 τὸν συγκρινόμενον ἔχῃ ἐν ἑαυτῷ ὅλον καὶ προςέτι μέρη αὐτοῦ πλείονα ἑνός· τὸ δὲ πλείονα ἑνὸς ἄρχεται πάλιν ἀπὸ τοῦ β καὶ πρόεισιν ἐπὶ πάντας τοὺς ἐφεξῆς ἀριθμούς· ὥςτε τοῦ ἐπιμεροῦς πυθμήν ἐστιν εἰκότως ὁ πρὸς τῷ ὅλῳ δύο μέρη τοῦ ἀντισυγκρινομένου ἔχων καὶ κληθήσεται ἐπιδιμερὴς εἰδικῶς, μετὰ δὲ τοῦτον ὁ τρία πρὸς τῷ ὅλῳ ἔχων κληθήσεται ἐπιτριμερὴς εἰδικῶς, καὶ μετὰ τοῦτον ἐπιτετραμερής, εἶτα ἐπιπενταμερής, καὶ οὕτως ἀεί. τὰ δέ μέρη ῥίζαν ἔχει καὶ ἀρχὴν ἀπὸ τοῦ τρίτου· 2

XX. Io. Phil. ρνζ, ρνη. — Iambl. p. 58. 59. — Boëth. I. 23.

---

1. πολλὰ] τινὰ *S* — 2. ἐπιφαινόμενα *H* — 3. νῦν om. *S* — 6. πολλαπλάσιον καὶ ἐπιμόριον *PS*, *H* in mrg. — καὶ τὰς] καὶ ἔτι μετὰ τὰς *SH* — 8. ἀλλήλας *C* — 9. μέρ G_1 ει G_2

XX. Περὶ ἐπιμεροῦς *PCΓ* — 12. ἀριθμὸν G_1 — 13. ἐφ' ἑαυτὸν *S* — 14. τὸ] τὰ *P* Io. Phil. ρνζ — πλείονα] τοῦ add. G_2 — 15. προίησιν *S* — 18. ἐπιμερὴς *P* — 19. 20. ὁ τρία ... τοῦτον om. G_1 — 20. ἰδικῶς G_2 om. *H* — 21. ἐπιπενταμ. om. G_1 — 22. ἕξει *CH*

*ἀδύνατον γὰρ ἐνθάδε ἀπὸ τοῦ ἥμισυ ἄρχεσθαι· ἂν
γὰρ καί τινα ὑποθώμεθα β ἡμίση ἔχειν τοῦ ἀντι-
θέτου πρὸς τῷ ὅλῳ, λήσομεν ἑαυτοὺς πολλαπλάσιον
ἀντὶ ἐπιμεροῦς τιθέντες· ἕκαστον γὰρ ὅλον καὶ β
ἡμίση αὐτοῦ συντιθέμενα διπλάσιον γίνεται τοῦ ἐξ
ἀρχῆς· ὥςτε ἀναγκαιότατον ἀπὸ β τρίτων ἄρχε-
σθαι, εἶτα β πέμπτων, εἶτα β ἑβδόμων, καὶ ἐπὶ
τούτοις β ἐνάτων κατὰ τὴν τῶν περισσῶν πρόβα-
σιν· τὰ γὰρ β τέταρτα λόγου χάριν πάλιν ἥμισύ
ἐστι καὶ τὰ β ἕκτα τρίτον καὶ οὕτω πάλιν ἐπιμόριοι
ἀντὶ ἐπιμερῶν γενήσονται, ὅπερ οὐ πρόκειται οὔτε*
3 *ἡμῖν οὔτε τῇ τῆς τεχνολογίας καταλληλίᾳ. μετὰ δὲ
τὸν ἐπιμερῆ εὐθὺς συνυφίσταται ὁ ὑπεπιμερής, ὅταν
ἀριθμὸς ἐν τῷ συγκρινομένῳ ὅλος ἔχηται αὐτός τε
καὶ προςέτι πλείονα αὐτοῦ μέρη ἢ β ἢ γ ἢ δ ἢ ε
καὶ ἐφεξῆς.*

XXI *κα. Τάξις δὲ ἀμφοτέρων καὶ ἀκόλουθος γένεσις εὑρίσκεται, ὅταν ἐκθέμενοι τοὺς ἀπὸ τριάδος ἑξῆς ἀρτίους καὶ περιττοὺς ἀριθμοὺς πρὸς τούτους συγκρίνωμεν τοὺς ἀπὸ πεντάδος καθαροὺς συνεχεῖς*

XXI. Io. Phil. *ρνθ—ρξγ.* — Iambl. p. 59. 60. — Boëth. I. 23. — Schol. *ΝΓ* Nobb. p. 15. 16.

---

1. *ἐνταῦθα C* — *ἡμίσεος S* *-ους H* — *ἄρχεσθαι* om. *H* — *ἂν*] *ἄνευ P* — 4. *τίθεμεν H* — 5. *αὐτὸν P* — 6. *ὥςτε*] *ἂν* add. *P* — 7—12. *εἶτα . . . καταλληλίᾳ* om. G_1 — 7. 8. *ἀπὸ* quater ponunt G_2S — 7. *ἐκδόμων P* — 8. *Περσῶν πρόβλησιν P* — 9. *τὰ γὰρ δ˜ ὅτε παραλόγου P* — 9. 10. *ἡμ. ἐστι πάλ.* G_2 — 10. *τρίτον*] *καὶ τὰ β ὄγδοα τέταρτον* add. *S* — *ἐπιμόριον P* — 13. *ἐπεπιμερὴς P* — 14. *ὅλος* om. *SH* — *ἔχηται* om. *H* — 15. *ἑαυτοῦ C* — 16. *ἢ ἐφεξ. CH*

XXI. *Περὶ γενέσεως ἐπιμερῶν τε καὶ ὑπεπιμερῶν P* — 18. *ἐκθέμενος H* — 19. *συγκρινομένους P* *-ίνομεν S* *-ίνω H* in mrg. *μεν*.

περισσοὺς μόνους, πρῶτον πρὸς πρῶτον, οἷον τὸν ε πρὸς τὸν γ, καὶ δεύτερον πρὸς δεύτερον, οἷον τὸν ζ πρὸς τὸν δ, καὶ τρίτον πρὸς τρίτον, οἷον τὸν ϑ πρὸς τὸν ε, καὶ τέταρτον πρὸς τέταρτον, οἷον τὸν ια πρὸς τὸν ϛ, καὶ ἐφεξῆς τῇ αὐτῇ τάξει ἐφ' ὁσονοῦν· οὕτως γὰρ εὔτακτα τὰ τοῦ ἐπιμεροῦς τε καὶ ὑπεπιμεροῦς εἴδη κατὰ τοὺς ἑκάστου πυθμένας δη- P 32 λωθήσεται, ἐπιδιμερὲς πρῶτον, εἶτα ἐπιτριμερὲς καὶ ἐπιτετραμερὲς καὶ ἐπιπενταμερὲς καὶ ἐφεξῆς ἐπὶ πλέον παραπλησίως· μετὰ γὰρ τοὺς πυθμένας ἑκάστου γενήσονται οἱ συνεχεῖς διπλασιαζομένων ἀμφοτέρων τῶν ὅρων ἢ τριπλασιαζομένων καὶ ὅλως κατὰ τὰ τοῦ πολλαπλασίου εὔτακτα εἴδη μεγεθυνομένων.

οἱ πυθμένες.

ε	γ	ζ	δ	ϑ	ε	ια	ϛ	ιγ	ζ
ι	ϛ	ιδ	η	ιη	ι	κβ	ιβ	κϛ	ιδ
ιε	ϑ	κα	ιβ	κζ	ιε	λγ	ιη	λϑ	κα
κ	ιβ	κη	ιϛ	λϛ	κ	μδ	κδ	νβ	κη
κε	ιε	λε	κ	με	κε	νε	λ	ξε	λε
λ	ιη	μβ	κδ	νδ	λ	ξϛ	λϛ	οη	μβ
λε	κα	μϑ	κη	ξγ	λε	οζ	μβ	ϟα	μϑ
μ	κδ	νϛ	λβ	οβ	μ	πη	μη	υδ	νϛ
με	κζ	ξγ	λϛ	πα	με	ϟϑ	νδ	ριζ	ξγ
ἐπιδί-τριτοι		ἐπιτρι-τέταρτοι		ἐπιτετρά-πεμπτοι		ἐπιπέν-ϑεκτοι		ἐφεκτέ-βδομοι	

1. πρὸς γ G συγκρίνων add. H — 3. οἷον] ὥςπερ H — 6. 7. τε καὶ ὑπεπ. om. P — 8. 9. καὶ ἐπιτ. καὶ ἐπιπ] εἶτα ... εἶτα S — 9. καὶ ἐπιπενταμ. om. C — ἐφεξῆς] ὁμοίως καὶ add. SH — 12. τριπλασιαζ.] ἢ τετραπλασιαζομένων ἢ πενταπλασιαζομένων καὶ ἑξῆς κατὰ τὴν τάξιν τοῦ πολλαπλασιασμοῦ add. S — 15. bis proponitur schema in G; in priore (οἱ πυϑμ. om.) subscripta supra leguntur, post seriem perpendicularem decimam ζ, ιδ . . . quarta repetitur; pro νε (20) legitur νϑ, pro ξγ, λϛ (24) ξβ, λϛ; abest schema

2 προςεκτέον δέ, ὅτι ἐκ μὲν τῶν δύο μερῶν τῶν πρὸς τῷ ὅλῳ ἐνόντων τῷ μείζονι τὸ τρίτον ὑπακούεται, ἐπὶ δὲ τῶν τριῶν τὸ τέταρτον, ἐπὶ δὲ τῶν τεσσάρων τὸ πέμπτον, ἐπὶ δὲ τῶν πέντε τὸ ἕκτον καὶ ἀεὶ οὕτως, ἵνα ἡ πρόβασις κατὰ τὴν ὀνομασίαν τοιαύτη τις ᾖ· ἐπιδίτριτος, ἐπιτριτέταρτος, ἐπιτετράπεμπτος, εἶτα ἐπιπένθεκτος καὶ παραπλησίως ἐπὶ τῶν λοιπῶν.

3 Αἱ μὲν οὖν τοῦ πρός τι ποσοῦ ἁπλαῖ καὶ ἀσύνθετοι σχέσεις αἵδε εἰσὶν αἱ προλεχθεῖσαι, αἱ δὲ σύνθετοι ἐξ αὐτῶν καὶ οἷον συμπλακεῖσαι ἐκ δυοῖν εἰς μίαν εἰσὶν αἵδε, ὧν πρόλογοι μὲν πολλαπλασιεπιμόριος καὶ πολλαπλασιεπιμερής, ὑπόλογοι δὲ αἱ εὐθὺς ἑκατέρᾳ τούτων συνυφιστάμεναι, σὺν τῇ

---

a *P*; ex eorum, quae reliqui codices praebent, numero hocce ex cod. *C* desumptum quod proponamus dignum uidetur:

	ε γ	ζ δ	ϑ ε	ια ϛ	ιγ ζ	ιε η
	ιϛ ϑ	ιϑ ι	κα ια	κγ ιβ	κε ιγ	κζ ιδ
διπλάσιοι	ι ϛ	ιδ η	ιη ι	κβ ιβ	κϛ ιδ	λ ιϛ
	λδ ιη	λη κ	μβ κβ	μϛ κδ	ν κϛ	νδ κη
τριπλάσιοι	ιε ϑ	κα ιβ	κζ ιε	λγ ιη	λϑ κα	με κδ
	να κζ	νζ λ	ξγ λγ	ξϑ λϛ	οε λϑ	πα μβ
τετραπλάσιοι	κ ιβ	κη ιϛ	λϛ κ	μδ κδ	νβ κη	ξ λβ
	ξη λϛ	οϛ μ	πδ μδ	ϟβ μη	ϱ νβ	ϱη [illegible]

1. ἐκ *PG*$_1$ ἐπὶ *G*$_2$*SH* in ras. *C* — 6. τις del. *H* — ἐπιδίτρ.] ἐπίτριτος *P* — ἐπιτριτέταρτ. om. *P* — 7. εἶτα om. *H* — 11. ὧν om. *H* — 13. ἑκατέρῳ *P* ἑκάτερα *G*$_2$ αἱ ἐφ' ἑκάτερα *H* —

ὑπο προθέσει ὀνομαζόμεναι, πολλαπλασιεπιμορίῳ μὲν ἡ ὑποπολλαπλασιεπιμόριος, πολλαπλασιεπιμερεῖ δὲ ἡ ὑποπολλαπλασιεπιμερής, καὶ καθ' ὑποδιαίρεσιν τῶν γενῶν αἱ εἰδικαὶ ταῖς εἰδικαῖς ἀνθυπακούσονται, μετὰ τῆς ὑπο προθέσεως καὶ αὗται ὀνομαζόμεναι.

κβ. Πολλαπλασιεπιμόριος μὲν οὖν ἐστι σχέσις, XXII ὅταν τῶν συγκρινομένων ὁ μείζων πλεονάκις ἢ ἅπαξ ἔχῃ ἐν ἑαυτῷ τὸν ἐλάσσονα καὶ πρὸς τούτῳ μοριόν τι ἓν αὐτοῦ οἷον δήποτε. διττῶς δὲ ὡς ἂν δὴ 2
σύνθετος ὁ τοιοῦτος ποικίλλεται κατὰ τὴν τῶν συμπλεκομένων ὀνομάτων καθ' ἑκάτερον ἰδιότητα· ἐπεὶ γὰρ ὁ πολλαπλασιεπιμόριος ἔκ τε τοῦ πολλαπλασίου καὶ τοῦ ἐπιμορίου γενικῶς σύγκειται, ἕξει ἐν ταῖς εἰδικαῖς ὑποδιαιρέσεσι ποικιλίαν τινὰ καὶ ἐξαλλαγήν, ἰδίᾳ μὲν κατὰ τὸ πρότερον μέρος τοῦ ὀνόματος, ἰδίᾳ δὲ κατὰ τὸ δεύτερον, οἷον κατὰ μὲν τὸ πρότε-
P ρον τὸ τοῦ πολλαπλασίου τὸ διπλάσιον ἢ τριπλάσιον
33 ἢ τετραπλάσιον ἢ πενταπλάσιον καὶ ἐφεξῆς, κατὰ δὲ τὸ δεύτερον ἀπὸ τοῦ ἐπιμορίου γενικῶς τὰ εἰδικὰ

XXII. Io. Phil. ρξδ—ροε. — Iambl. p. 60 seq. — Boëth. I. 24. 25. — Schol. *ΝΓ* Nobb. p. 17.

---

1. *ὀνομάζονται H* — *πολλαπλασιεπιμερῆ G* — 2. 3. *ἡ* bis om. *PCH* — 5. *αὐταὶ H*.

XXII. *Περὶ πολλαπλασιεπιμορίου GPCH* — 7. *ἐστι* om. *G* — *σχέσ. τις P* — 8. *πολλάκις P* — 9. *τούτῳ* G_1 — 9. *αὐτῷ* G_1 — 10. *διπλῶς CSH* cf. Io. Phil. ρξε — *δὴ* om. *P* — 11. *δισύνθετος G* — *τοιοῦτος*] *τρόπος* add. *P* — *συμπλακέντων* G_2*SH* — 14. *γενικῶς*] *κατὰ τὸ πολλαπλάσιον καὶ τὸ ἐπιμόριον* add. G_2 — 15. *τινὰ* om. *SH* — 16. 17. *ἴδια* bis *P* *ἰδίαν S* — 16. *πρώτερον P* — 17. *δεύτερον*] *μέρος τὸ τοῦ ἐπιμορίου* add. *S* — 19. *ἐφεξῆς*] *ὥστε τὴν σύνθεσιν τοιαύτῃ τινὶ τάξει προχωρεῖν* add. *G* cf. p. 60 lin. 2—3. — 20. *ἀπὸ τοῦ*] *ἀντὶ τοῦ S* *τὸ τοῦ CH* — *τὰ* om. *GP*

αὐτοῦ εὔτακτα τὸ ἐφημιόλιον, τὸ ἐπίτριτον, τὸ ἐπιτέταρτον, τὸ ἐπίπεμπτον καὶ ἐφεξῆς, ὥςτε τὴν σύνθεσιν τοιαύτῃ τινὶ τάξει προχωρεῖν·

διπλασιεφήμισυς, διπλασιεπίτριτος, διπλασιεπιτέταρτος, διπλασιεπίπεμπτος, διπλασιεπίεκτος καὶ ἀνάλογον,

καὶ ἀπ' ἄλλης ἀρχῆς τριπλασιεφήμισυς, τριπλασιεπίτριτος, τριπλασιεπιτέταρτος, τριπλασιεπίπεμπτος,

καὶ πάλιν ἄνωθεν τετραπλασιεφήμισυς, τετραπλασιεπίτριτος, τετραπλασιεπιτέταρτος, τετραπλασιεπίπεμπτος,

καὶ πάλιν ἄνωθεν πενταπλασιεφήμισυς, πενταπλασιεπίτιτρος, πενταπλασιεπιτέταρτος, πενταπλασιεπίπεμπτος

καὶ τὰ τούτοις ἐπ' ἄπειρον ἀναλογοῦντα· ὁσάκις μὲν γὰρ ὁ μείζων τὸν ἐλάττονα ὅλον ἐν ἑαυτῷ ἔχει, παρὰ τὴν τοσαύτην ποσότητα παρονομασθήσεται τὸ πρότερον μέρος τοῦ λόγου τῶν συμπλεκομένων ἐν τῷ πολλαπλασιεπιμορίῳ, οἷον δ' ἂν τὸ μόριον τὸ πρὸς τῷ πολλάκις ὅλῳ ἐνυπάρχον ἐν τῷ μείζονι ᾖ, πρὸς ἐκεῖνο παρώνυμον ἔσται τὸ δεύτερον εἶδος τοῦ λόγου, ἀφ' οὗ σύνθετον τὸ πολλα-
3 *πλασιεπιμόριον. ὑπωδείγματα δὲ αὐτοῦ· ὁ μὲν ε τοῦ β διπλασιεφημιόλιος, ὁ δὲ ζ τοῦ γ διπλασιεπί-*

1. *αὐτοῦ* om. *P* — *ἴδια καὶ εὔτακτα H* — 1. 2. *τὸ* om. quater *H* — *ἡμιόλιον S* — 4. 5. *διπλασιεφήμ. . . . διπλασιεπίπεμπτ.* om. *P* — 10—12. *καὶ πάλιν . . . τετραπλασιεπίπεμπτ.* om. *G.* — 13. *ἄνωθεν* om. *H* — 14. *πενταπλασιεπίπ.* om. *H* — 15. *τὰ ἐπὶ τούτοις PH* — 17. *γάρ*] *ἂν* add. *H* — *ὅλον* om. *C* — 18. *παρονομάσεται PS* — 19. *συμπλεγμένων H* *τὸ συμπεπληρωμένον S* — 21. *προυπάρχον C* *προςυπάρχ. SH* — 22. *ἐστι SH* — 23. *εἶδος*] *μέρος SH* — 25. *διπλασιεφήμισυς* G_2*CSH*

τριτος, ὁ δὲ ϑ τοῦ δ διπλασιεπιτέταρτος, ὁ δὲ ια τοῦ ε διπλασιεπίπεμπτος· καὶ αἰεὶ οὕτως εὐτάκτους αὐτοὺς γεννήσεις συγκρίνων τοῖς ἀπὸ δυάδος ἑξῆς ἀρτίοις καὶ περισσοῖς τοὺς ἀπὸ πεντάδος καθαροὺς περισσούς, πρῶτον πρώτῳ, δεύτερον δευτέρῳ, τρίτον τρίτῳ καὶ τοὺς ἄλλους ὁμοταγεῖς τοῖς ὁμοταγέσιν, ἀπὸ δυάδος δὲ τῶν ἐφεξῆς πάντων ἀρτίων οἱ ἀπὸ πεντάδος συνεχεῖς πεντάδι διαφέροντες διπλασιεφημιόλιοι καθαροὶ ἔσονται ὁμοταγεῖς ὁμοταγῶν, ἀπὸ δὲ τοῦ τρίτου πάντων τῶν τριάδι διαφερόντων ἐκτεθέντων, οἷον

γ, ϛ, ϑ, ιβ, ιε, ιη, κα,

καὶ ἐν ἄλλῳ στίχῳ τῶν ἀπὸ ἑβδομάδος ἑβδομάδι διαφερόντων ἐπ' ἄπειρον ἐκτεθέντων, οἷον

ζ, ιδ, κα, κη, λε, μβ, μϑ,

καὶ συγκρινομένων μειζόνων ἐλάττοσι, πρώτου πρώτῳ, δευτέρου δευτέρῳ, τρίτου τρίτῳ, τετάρτου τετάρτῳ, καὶ ἐφεξῆς, τὸ δεύτερον εἶδος ἀναφαίνεται
p τὸ τῶν διπλασιεπιτρίτων μετὰ τῆς οἰκείας εὐταξίας
34 ἐκκείμενον. εἶτα πάλιν ἀπ' ἄλλης ἀρχῆς ἂν ἐκτεθῇ 4
ὁ τῶν τετραπλασίων καθαρὸς στίχος,

δ, η, ιβ, ιϛ, κ, κδ, κη, λβ,

εἶτα παρεκτεθῇ αὐτῷ ἐν ἄλλῳ στίχῳ ὁ ἀπὸ τῆς ἐνάδος ἀρχόμενος κατὰ ἐνάδος προκοπὴν συνεχὴς ἀριθμός, οἷον

ϑ, ιη, κζ, λϛ, με, νδ,

ἕξομεν ἀναφαινόμενον πάλιν τὸν εἰδικὸν πολλαπλα-

---

6. ὁμοταγεῖς om. *H* — 8. ἀπὸ τοῦ ε *SH* — 10. διαφερόντων] προχωρούντων *C* διαφορᾷ προχ. *SH* — 20. παρατεθῇ *SH* — 23. ἄλλος στίχος ἀπὸ *C* — ὁ om. *G* — 24. ἐννάδος bis *PH* ἐννεάδος *C* — 24. 25. συνεχῶν ἀριθμῶν *C* — 26. νδ] ξγ, οβ add. *H* — 27. ἰδικὸν *P*

σιεπιμόριον, τουτέστι τὸν διπλασιεπιτέταρτον εὔτακτον· καὶ τοῦτο ἐπινοεῖν πάρεστι τῷ βουλομένῳ
5 *μέχρις ἀπείρου. τὸ δὲ ἕτερον εἶδος ἄρχεται ἀπὸ τοῦ τριπλασιεφημίσους, οἷον ὁ ζ πρὸς τὸν β καὶ ὁ ιδ πρὸς τὸν δ καὶ ἁπλῶς οἱ καθ' ἑβδομάδα προχωροῦντες πρὸς τοὺς ἀπὸ δυάδος εὐτάκτους ἀρτίους.*
6 *εἶτα πάλιν ἐξ ὑπαρχῆς ὁ ι πρὸς τὸν γ τριπλασιεπίτριτός ἐστι πρῶτος, ὁ δὲ κ πρὸς τὸν ς τριπλασιεπίτριτος δεύτερος, καὶ ἁπλῶς οἱ δεκαπλάσιοι ἐφεξῆς πρὸς τοὺς ἐφεξῆς τριπλασίους· ἃ δὴ ἀκριβέστερον κατιδεῖν δυνάμεθα καὶ τρανότερον ἐν τῷ προεπιγνωσθέντι διαγράμματι· πρὸς μὲν γὰρ τὸν πρῶτον στίχον οἱ ἐφεξῆς τάξει συγκείμενοι ὅλοι πρὸς ὅλον*

4. *πρὸς τὸν ιβ † πρὸς τὸν β P τὰ β ... τὰ ιδ ... τὰ δ SH* — 6. *εὐτάκτους* om. *C* — 7. *εἶτα* om. *CSH* — *τὰ ι ... τὰ γ SH* — 8. *πρῶτος ... τριπλ.* om. G_1 *πρῶτος ... δεύτ.* om. *P* — *τὰ δὲ κ ... τὰ ς* G_2*SH* — 9 *δεύτερο ///* G_1 *ς* G_2 — *δεκαπλάσιοι] δεκάδι διαφέροντες* G_2 — 10. *τριπλασίους] τριάδι διαφέροντας* G_2 superscr. *S διπλασίους PH. G* hocce add. diagramma:

διπλασι-	εφήμισυς	διπλασι-	επίτριτος	διπλασι-	επιτέταρτος	τριπλασι-	εφήμισυς	τριπλασι-	επίτριτος	τριπλασι-	επιτέταρτος	τετραπλασι-	εφήμισυς	τετραπλασι-	επίτριτος
ε	β	ζ	γ	ϑ	δ	ζ	β	ι	γ	ιγ	δ	ϑ	β	ιγ	γ
ι	δ	ιδ	ς	ιη	η	ιδ	δ	κ	ς	κς	η	ιη	δ	κς	ς
ιε	ς	κα	ϑ	κζ	ιβ	κα	ς	λ	ϑ	λϑ	ιβ	κζ	ς	λϑ	ϑ
κ	η	κη	ιβ	λς	ις	κη	η	μ	ιβ	νβ	ις	λς	η	νβ	ιβ
κε	ι	λε	ιε	με	κ	λε	ι	ν	ιε	ξε	κ	με	ι	ξε	ιε
λ	ιβ	μβ	ιη	νδ	κδ	μβ	ιβ	ξ	ιη	οη	κδ	νδ	ιβ	οη	ιη
λε	ιδ	μϑ	κα	ξγ	κη	μϑ	ιδ	ο	κα	ϟα	κη	ξγ	ιδ	ϟα	κα
μ	ις	νς	κδ	οβ	λβ	νς	ις	π	κδ	ϱδ	λβ	οβ	ις	ϱδ	κδ
με	ιη	ξγ	κζ	πα	λς	ξγ	ιη	ϟ	κζ	ϱιζ	λς	πα	ιη	ϱιζ	κζ

— 10. *οὓς δὴ C* — 12. *διαγράμματι]* cf. p. 51. — 13. *ἐφεξῆς] στίχοι* add. *CS* — *συγκρινόμενοι CSH*

τὰ τοῦ πολλαπλασίου εὔτακτα εἴδη ἐπ' ἄπειρον ὑποδεικνύουσι πρὸς τὸν αὐτὸν ἀεὶ πρῶτον ἅπαντες συγκρινόμενοι, πρὸς δὲ τοὺς ὑπεράνω πάντας ἐφεξῆς εἷς ἕκαστος πρὸς τὸν γείτονα· τῆς ἀρχῆς ἡμῖν ἀπὸ τοῦ δευτέρου γινομένης στίχου πάντα τὰ τοῦ ἐπιμορίου εἴδη κατὰ τὴν οἰκείαν εὐταξίαν γεννᾶται, ἀπὸ δὲ τοῦ τρίτου στίχου πρὸς αὐτόν τε πρῶτον καὶ τοὺς συνεχεῖς αὐτῷ καθ' ἕκαστον οἱ ἀπὸ τοῦ πέμπτου περισσυταγεῖς πάντες ἀντεξεταζόμενοι τὰ τοῦ ἐπιμεροῦς πάντα εἴδη εὔτακτα ὑποδείξουσι· τοῦ δὲ πολλαπλασιεπιμορίου αἱ συγκρίσεις τάξιν φυσικὴν καὶ ἰδίαν ἕξουσιν, ἐὰν ἀπὸ τοῦ δευτέρου στίχου ἀρχόμενοι τοὺς ἀπὸ τοῦ πέμπτου συγκρίνωμεν ἀριθμούς, πρῶτον πρὸς πρῶτον καὶ δεύτερον πρὸς δεύτερον καὶ τρίτον πρὸς τρίτον καὶ οὕτως ἑξῆς, πρὸς δὲ τὸν τρίτον τοὺς ἀπὸ τοῦ ἑβδόμου, πρὸς δὲ τὸν τέταρτον τοὺς ἀπὸ τοῦ ἐνάτου, καὶ κατὰ τὴν ἁρμόζουσαν εὐταξίαν, μέχρις ἂν εὐτονῇ τις παρέπεσθαι. δῆλον δέ, ὅτι οἱ ἐλάττονες σὺν τῇ ὑπο προ- 7
θέσει ἀντονομάζονται καὶ ἐνθάδε πρὸς τοὺς μείζο-
P νας κατὰ τὰς ἐγκειμένας πᾶσι προσηγορίας.

35 κγ. Πολλαπλασιεπιμερὴς δέ ἐστιν ἡ λοιπὴ σχέ- XXIII

XXIII. Io. Phil. ϱος—ϱϟα. — Iambl. p. 60 seq. — Theodori Protocensoris schol. (cf. Io. Phil. praef. p. XIV.) — Boëth. I. 26. 27. — Schol. *ΝΓ* Nobb. p. 17. 18.

---

1. ἐπ' ἄπειρον om. *H* — 2. ἅπαντα G_1 — 5. γινομένου *GP* — 7. πρῶτον add. Ast — καὶ om. *G* — 8. αὐτοῦ *G* — ἀπὸ πέντε *S* — 10. ἀποδείξουσι *CS* — 14. πρῶτον πρώτῳ . . . δεύτερον δευτέρῳ *H* — 15. τρίτον] στίχον add. G_2 — 15—17. artic. ante τρίτ., ἑβδ., τέτ., ἐν. om. *H* — 20. ἐνθάδε] ἐνάδα G_1 — 21. ἐκκειμένας G_2 — πάσας *H*

XXIII. Περὶ πολλαπλασιεπιμεροῦς *GPH* — 22. οἱ λοιπὴ *G*

σις τοῦ ἀριθμοῦ· αὕτη τε καὶ ἡ σὺν τῇ ὑπο προ-
θέσει ἀντονομαζομένη αὐτῇ ἔστιν, ὅταν ἀριθμὸς τὸν
συγκρινόμενον ἀριθμὸν ὅλον τε ἔχῃ ἐν ἑαυτῷ πλεο-
νάκις ἢ ἅπαξ (τουτέστι δὶς ἢ τρὶς ἢ ὁσακιςοῦν) καὶ
πρὸς τούτῳ μέρη τινὰ αὐτοῦ πλείονα ἑνὸς ἢ β ἢ γ
2 ἢ δ ἢ ε καὶ ἑφεξῆς. ταῦτα δὲ οὐκ ἔστι μὲν ἡμίση διὰ
τὰ προλεχθέντα ἤτοι δὲ τρίτα ἢ τέταρτα ἢ πέμπτα
3 καὶ κατὰ τὴν ὁμοίαν ἀκολουθίαν. οὐ χαλεπὸν δὲ ἐκ
τῶν προφρασθέντων νοῆσαι καὶ τὰ τούτου εἴδη, ὡς
ὁμοίως καὶ ἀπαραλλάκτως τοῖς πρὸ αὐτοῦ ποικίλ-
λεται, διπλασιεπιδιμερής, εἶτα διπλασιεπιτριμερής,
εἶτα διπλασιεπιτετραμερής, καὶ ἀνάλογον· οἷον ὁ
μὲν η τοῦ γ διπλασιεπιδιμερὴς καὶ ὁ ις τοῦ ϛ δι-
πλασιεπιδιμερὴς καὶ καθόλου οἱ ἀπὸ ὀγδοάδος ὀγδο-
άδι διαφέροντες τῶν ἀπὸ τριάδος τριάδι διαφερόν-
των, ὁμοταγεῖς ὁμοταγῶν, καὶ ἐπὶ τῶν λοιπῶν εἰ-
δῶν δύναιτ' ἄν τις ἀκολουθῶν τοῖς προειρημένοις
εὑρίσκειν τὴν εὐταξίαν· κἀνταῦθα δὲ σὺν τῇ ὑπο
προθέσει νοητέον προιοῦσαν καὶ συμμεταβαλλομέ-
νην τὴν τοῦ συγκρινομένου ἀντονομασίαν.

4 Καὶ οὕτως αἱ δέκα ἀριθμητικαὶ σχέσεις πέρας
ἡμῖν τῆς θεωρίας, ὡς ἐν πρώτῃ λαμβάνουσιν εἰς-
αγωγῇ· ἔστι δέ τις γλαφυρωτέρα ἔφοδος καὶ ἀναγ-
καιοτάτη πρὸς πᾶσαν τὴν τῶν ὅλων φυσιολογίαν,
ἥτις ἡμῖν σαφέστατα καὶ ἀναμφιλέκτως παρίστησιν,

1. αὐτὴ S — 1. 2. αἱ . . . ἀντονομαζόμεναι GP — 2. ἔστιν addidi — 3. πολλάκις P — 6. ταῦτα om. S — 10. τοῖς τοῦ πρὸ SH — 12. διπλασιεπιτετραμ.] εἶτα διπλασιεπιπενταμερής add. C καὶ πάλιν τριπλασιεπιδιμερής, τριπλασιεπιτριμερής, τριπλασιεπιτετραμερής add. SH — 14. καθόλον P — 16. ὁμοταγῶν] διπλασιεπιδιμερεῖς εἰσι add. C — 19. συμπροιοῦσαν SH — συμβαλλομένην C — 20. αὐτονομασίαν G — 22. ἡμῖν τῆς om. CSH — λαμβάνει H — 23. γλαφυρότερος G — 24. πᾶσαν om. C

ὅτι πρῶτον μὲν τὸ καλὸν καὶ ὡρισμένον καὶ ὑπὸ
ἐπιστήμην πῖπτον φύσει προγενέστερον τοῦ ἀορί-
στου καὶ ἀπεριλήπτου καὶ αἰσχροῦ, εἶτα ὅτι καὶ τὰ
τοῦ ἀπείρου καὶ ἀορίστου μέρη καὶ εἴδη ὑπ' ἐκεί-
νου μορφοῦται καὶ περαίνεται καὶ τοῦ προςήκοντος
κόσμου καὶ εὐταξίας τυγχάνει καὶ ὥςπερ ὑπὸ
σφραγιστῆρός τινος ἢ μέτρου πάντα τὰ ἐμπίπτοντα
μεταλαμβάνει τῆς ὁμοιότητος καὶ ὁμωνυμίας· οὕτω
γὰρ εὐλόγως καὶ τὸ τῆς ψυχῆς λογικὸν τοῦ ἀλόγου
κοσμητικὸν ἔσται καὶ ὁ θυμὸς καὶ ἡ ἐπιθυμία ἐν
τοῖς τῆς ἀνισότητος δυσὶν εἴδεσι τεταγμένα ὑπὸ
P τοῦ διανοητικοῦ εὐτακτηθήσονται ὡς ὑπό τινος ἰσό-
36 τητος καὶ ταυτότητος. ἐκ δὲ τῆς ἀπισώσεως ταύ- 5
της ὀρθῶς ἡμῖν ἀποβήσονται αἱ λεγόμεναι ἠθικαὶ
ἀρεταί, σωφροσύνη, ἀνδρεία, πραότης, ἐγκράτεια,
καρτερία καὶ αἱ ὅμοιαι.

Φέρε οὖν ἐπισκεψώμεθα, ποταπὸν τὸ εἰς τὰ 6
φυσικὰ ταῦτα συντεῖνον θεώρημα· ἔστι δὲ ἀπο-
δεικτικὸν τοῦ ἀπ' ἰσότητος μονωτάτης καὶ πρωτί-
στης οἷον μητρός τινος καὶ ῥίζης γεννᾶσθαι πάντα
τὰ τῆς ἀνισότητος ποικίλα εἴδη καὶ εἰδῶν διαφοράς.
προκείσθωσαν γὰρ ἡμῖν ἐν τρισὶν ὅροις ἶσοί τινες 7
ἀριθμοί, πρῶτον μὲν μονάδες, εἶτα δυάδες ἐν ἄλλοις
τρισίν, εἶτα τριάδες, καὶ ἑξῆς τετράδες, ἔπειτα πεν-
τάδες, καὶ τοῦτο μέχρις οὗ βούλει· οὕτω γὰρ τῆς

1. ὡρισμένον] τὸ ἶσον add. *S* — 2. πίπτον *GPC* — 4. καὶ ἀορ. μερ. καὶ om. *C* — ὑπ'] ἐπ' *S* — 10. ἐστί *S* — 11. τοῖς ἀνίσοις *GP* τοῖς τῆς ἀνισότητος *CSH* Io. Phil. ῥοη. *has quodammodo inaequalitatis formas* Boëth. I. 27. — 15. ἀνδρία *P* — 16. καρτερία om. *S* — 17. 18. εἰς φυσ. τοιαῦτα *H* — 18. ἀποδεικτικὸν] μοναδικὸν *S* — 19. ἰσώτητος *G* — καὶ πρωτίστης om. *P* — 20. τινος om. *P* — 24. καὶ ἑξ. τετρ. om. *G* — 25. τοῦτο om. *C*

τούτων ἐκθέσεως θείῳ τινὶ καὶ οὐκ ἀνθρωπίνῳ λόγῳ, ἀλλ' ἀπὸ φύσεως αὐτῆς γεγουνίας πρῶτοι μὲν γενήσονται πολλαπλάσιοι, καὶ τούτων αὐτῶν ἡγήσεται μὲν διπλάσιος, μετ' αὐτὸν δὲ τριπλάσιος, ἐπὶ δὲ τούτῳ τετραπλάσιος, εἶτα πενταπλάσιος, καὶ κατὰ τὴν προεπιγνωσθεῖσαν ἡμῖν τάξιν ἐπ' ἄπειρον· δεύτερος δὲ ἐπιμόριος, καὶ τούτου πάλιν ἡγήσεται τὸ πρώτιστον εἶδος ἡμιόλιος, ἐπὶ τούτῳ δὲ τὸ μετ' αὐτὸ ἐπίτριτος, ἐπὶ δὲ τούτοις ὁ τάξει ἑξῆς ἐπιτέταρτος καὶ ἐπίπεμπτος καὶ ἔφεκτος καὶ ἀνάλογον ἐπ' ἄπειρον· τρίτον δὲ τὸ ἐπιμερές, καὶ πάλιν αὐτοῦ τούτου ἐπιδιμερὲς μὲν ἡγήσεται, ἕπεται δ' εὐθὺς ἐπὶ τούτῳ τὸ ἐπιτριμερές, εἶτα τὸ ἐπιτετραμερές, καὶ εὐθὺς τὸ ἐπιπενταμερές, καὶ μέχρις ἂν
8 προχωρῇ τις ἀκολούθως τοῖς ἔμπροσθεν. προστάγματα οὖν τινα δεῖ ἔχειν οἷον νόμους φυσικοὺς ἀπαρεγκλίτους καὶ ἀπαραβάτους, οἷς πᾶσα ἡ προλεχθεῖσα πρόβασις καὶ προχώρησις ἀπὸ τῆς ἰσότητος εὐοδώσει μὴ λειποτακτουμένη· τὰ δὲ προστάγματα ταῦτά ἐστι, πρῶτον πρώτῳ ἴσον ποιῆσαι, δεύτερον δὲ πρώτῳ ἅμα καὶ δευτέρῳ, τρίτον δὲ πρώτῳ καὶ δυσὶ δευτέροις ἅμα καὶ τρίτῳ· γένοιτο γὰρ μετὰ τούτων τῶν νόμων πλάσσοντί σοι εὐθὺς μὲν τὰ τοῦ πολλαπλασίου ἅπαντα εἴδη τάξει ἐκ τῶν τῆς ἰσότητος

---

1. ἑκάστης ἐκθέσ. *SH* — 2. ἀπὸ] ὑπὸ *S* — γεγονᾶς *P* — 4. μετ' αὐτὸν] μετὰ τοῦτον *H* — 9. μετ' αὐτὸν *CSH* — τούτοις] -ου *S* -ῳ *H* — 10. εἶτα ἐπίπ. *CSH* — καὶ ἔφεκτος om. *H* — 11. ἐπ' om. *G* μέχρις ἀπείρου *CSH* — 12. τούτου om. *H* — ἕψεται *CSH* — 13. ἐπὶ om. *H* — 14. καὶ . . . ἐπιπεντ. om. *G* — εὐθὺς] τούτῳ add. *H* — 15. ἀκολουθῶν *P* — 18. εὐδώσει *P* — 20. ἔσται *H* — ποίησον (o supra) *S* — 22. γὰρ] ἂν add. Ast — 23. πλάσσωντι *G* — σοι] μοι *C* — 24. τῆς ἰσότ. om. *P*

τριῶν ἐκκειμένων ὅρων οἷον βλαστάνοντα καὶ ἐκ-
φυόμενα, σοῦ μηδὲν ἐπιτηδεύοντος μηδὲ συλλαμβά-
νοντος· καὶ ἐκ μὲν ἰσότητος εὐθὺς τὸ διπλάσιον,
p ἐκ δὲ διπλασίου εὐθὺς τὸ τριπλάσιον, ἐκ δὲ τριπλα-
37 σίου ἑξῆς τὸ τετραπλάσιον καὶ ἐκ τούτου τὸ πεντα-
πλάσιον εὐτάκτως καὶ τοῦτο μέχρις ἀεί. ἐκ δὲ αὐ- 9
τῶν τούτων τῶν εὐτάκτως πολλαπλασίων ἀναστρα-
φέντων εὐθὺς γεννῶνται φύσει τινὶ ἀναγκαίᾳ διὰ
τῶν αὐτῶν τριῶν προσταγμάτων οἱ ἐπιμόριοι, καὶ
οὗτοι οὐχ ὡς ἔτυχεν οὐδὲ ἀτάκτως, ἀλλὰ τῇ προς-
ηκούσῃ ἀκολουθίᾳ· ἐκ μὲν τοῦ πρώτου διπλασίου
ἀναστραφέντος ὁ πρῶτος ἡμιόλιος, ἐκ δὲ τοῦ δευ-
τέρου τριπλασίου ὁ ἐν ἐκείνοις δεύτερος ἐπίτριτος,
εἶτα ἐπιτέταρτος ἐκ τετραπλασίου, καὶ ἁπλῶς ἕκαστος
ἀπ' ἐκείνου, ᾧ παρώνυμός ἐστιν. ἀπὸ δὲ ἄλλης ἀρ- 10
χῆς αὐτῶν τῶν ἐπιμορίων ἐκκειμένων, ὥςπερ καὶ ἀνε-
φύησαν, ἀναστρόφως μέντοι, γεννῶνται οἱ φύσει
μετ' αὐτοὺς ἐπιμερεῖς· ἀπὸ μὲν τοῦ ἡμιολίου ἐπι-
διμερής, ἀπὸ δὲ τοῦ ἐπιτρίτου ἐπιτριμερὴς καὶ ἐπι-
τετραμερὴς ἐκ τοῦ ἐπιτετάρτου καὶ ἐπ' ἄπειρον τῇ
αὐτῇ ἀναλογίᾳ. μὴ ἀναστρεφομένων δέ, ἀλλ' ὀρ- 11
θῶς ἐκκειμένων τῶν εὐτάκτων ἐπιμορίων γεννῶν-
ται διὰ τῶν αὐτῶν προσταγμάτων οἱ πολλαπλα-
σιεπιμόριοι· διπλασιεφήμισυς μὲν ἐκ τοῦ πρώτου
ἡμιολίου, διπλασιεπίτριτος δὲ ἐκ τοῦ δευτέρου ἐπι-
τρίτου, διπλασιεπιτέταρτος δὲ ἐκ τοῦ τρίτου. ἐπιτε-

1: τριῶν om. *P* — 3. τῆς ἰσότ. *S* — 4. τοῦ διπλ. . . . τοῦ τριπλ. *SH* — 5. ἑξῆς] om. *S* εὐθὺς *H* — τὸ om. *GP* — καὶ ἐκ . . . πενταπλ. om. *H* — πενταπλ.] εὐθὺς add. *S* — 6. εὐτάκτων *GH* — 7. ἀντιστραφέντων *H* — 12. πρώτιστος *S* — 13. ἐκείνης, οὗ *H* — 15. ἐστιν] δὲ *G* — 16. κειμένων *H* — 17. ἀντιστρόφως *PH* — 18. ἐπιδιμερεῖς *G* — 21. ἀνεστραμμένων *SH* — 22. κειμένων *H*

12 τάρτου, καὶ ἀεὶ οὕτως. ἐκ δὲ τῶν ἐξ ἀναστροφῆς
τῶν ἐπιμορίων γεννηθέντων, τουτέστι τῶν ἐπιμε-
ρῶν, καὶ τῶν μὴ ἐξ ἀναστροφῆς, τουτέστι πολλα-
πλασιεπιμορίων, πάλιν τῷ αὐτῷ τρόπῳ διὰ τῶν αὐ-
τῶν προςταγμάτων ἀπογεννῶνται ὀρθῶς τε κειμέ-
νων καὶ ἀναστρεφομένων οἱ τὰς λοιπὰς σχέσεις ἐμ-
13 φαίνοντες ἀριθμοί. πάντων δὲ τῶν προειρημένων,
γενέσεώς τε αὐτῶν καὶ τάξεως, ὀρθότητός τε καὶ
ἀναστροφῆς ὑποδείγματα ἀρκείτω ἡμῖν πρὸς ὑπό-
14 μνησιν τὰ τοσαῦτα. ἐκ μὲν τῆς ἐν ἡμιολίοις σχέ-
σεως καὶ ἀναλογίας ἀνεστραμμένης ἐκ τοῦ μείζονος
ὅρου συνίσταται σχέσις ἐν ἐπιμερέσι λόγοις ἐπιδί-
τριτος, ἀπὸ δὲ τοῦ ἐλάττονος κειμένης ὀρθῶς πολλα-
πλασιεπιμόριος ἤτοι διπλασιεφήμισυς, ὡς ἀπὸ τοῦ

ϑ, ϛ, δ

ἤτοι

ϑ, ιε, κε

ἢ

δ, ι, κε·

ἐκ δὲ τῆς ἐν ἐπιτρίτοις ἀπὸ μὲν τοῦ μείζονος ἐπιμε-
ρὴς ἤτοι τριςεπιτέταρτος, ἀπὸ δὲ τοῦ ἐλάσσονος
διπλασιεπίτριτος, ὡς ἐκ τοῦ

ιϛ, ιβ, ϑ

ἤτοι

ιϛ, κη, μϑ

ἢ

ϑ, κα, μϑ·

1. ἀντιστροφῆς P — 3. καὶ τῶν μὴ . . . πολλαπλ. om. CH — 6. καὶ μὴ ἀναστρ. H καὶ μὴ ἀντιστρεφομένων οἱ τὰ εἴδη τῆς λοιπῆς σχέσεως ἐμφ. ἀρ. τουτέστι τῆς πολλαπλασιεπιμεροῦς C — 11. καὶ ἀναλογ. om. C — ἀντεστραμμ. H — 13. ὀρθῆς GC — 20. ἐπιτρίτης G — ἐπιμερής SH ἐπιτριμερής GPC — 21. ἐπιτριτέταρτος C

P 38 ἐκ δὲ τῆς ἐν ἐπιτετάρτοις ἀπὸ μὲν τοῦ ὑπερέχοντος ἐπιμερὴς ἤτοι τετρακιςεπίπεμπτος, ἐκ δὲ τοῦ ἐλάττονος πολλαπλασιεπιμόριος ἤτοι διπλασιεπιτέταρτος, ὡς ἐκ τοῦ

κε, κ, ις

ἤτοι

κε, με, πα

ἢ

ις, λς, πα.

ἐπὶ πασῶν δὲ τῶν διαζευχθεισῶν καὶ ἀφ' ἧς ἀμφό- 15
τεραι, ὁ μὲν ἔσχατος τετράγωνος ὁ αὐτὸς μένει, ὁ δὲ
πρῶτος εἰς τὸν ἐλάττονα μεταβαίνει, πάντως δὲ οἱ
ἄκροι τετράγωνοι. ἀλλὰ μὴν καὶ ἑτέρως ἐκ τῶν 16
ἐπιμερῶν οἱ πολλαπλασιεπιμερεῖς καὶ ἑτερογενεῖς
ἐπιμερεῖς ἀναφαίνονται, οἷον ἐκ μὲν τῆς διςεπιτρίτου ἀπὸ μὲν τοῦ ἐλάττονος ὅρου ἡ διπλασία καὶ διςεπίτριτος· ἐκ δὲ τοῦ μείζονος ἡ τριςεπίπεμπτος, ὡς ἐκ τοῦ

ϑ, ιε, κε

ἤτοι

ϑ, κδ, ξδ

ἢ

κε, μ, ξδ·

ἐκ δὲ τῆς τριςεπιτετάρτου ἐκ μὲν τοῦ μικροτέρου ἡ διπλασία καὶ τριςεπιτέταρτος, ἐκ δὲ τοῦ μείζονος ἡ τετρακιςεφέβδομος, ὡς ἐπὶ τοῦ

---

2. ἐπιμερεὶς *G* ἢ ἐπιμ. *H* — ἐπιτετράπεμπτος *C* — 4. ἐκ τῆς *S* — 8. 9. ἢ . . . πα om. *H* — 10. διαζευχθεισῶν] intell. σχέσεων cf. Io. Phil. ρπς. Iambl. p. 70. — ἀμφότεραι] ἀμφότερα *GP* intell. σχέσεις γίνονται — 15. ἐπιδιτρίτου *C* — 17. διπλασιεπιδίτριτος *C* — ἐπιτρίπεμπτος *C* — 18. ἐκ τῆς ϑ *H* — 22. 23. ἢ κε ἢ μ ἢ ξδ *P* — 24. ἐπιτριτέταρτος *C* — 25. διπλασιεπιτριτέταρτος *C* — 26. ἐπιτετραέβδομος *C* — ἐπὶ τῆς *S*

ιϛ, κη, μθ

ἤτοι

ιϛ, μδ, ρκα

ἢ

μθ, οζ, ρκα.

17 πάλιν δὲ ἐκ τῆς τετρακιϛεπιπέμπτου, οἷον τῆς

κε, με, πα,

ἀπὸ μὲν τοῦ ἐλάσσονος ἡ διπλασία καὶ τετρακιϛεπίπεμπτος ἐν τοῖς

κε, ο, ρϟϛ,

ἀπὸ δὲ τοῦ μείζονος πάλιν ἐπιμερὴς ἢ πεντακιϛεπένατος ὡς ἐν τοῖς

πα, ρκϛ, ρϟϛ,

καὶ κατὰ τὰ ἑξῆς ἐπ' ἄπειρον ἀνάλογα καὶ εὐάρμοστα εὑρήσεις.

---

6. ἐπιτετρακιϛεπιπέμπτου *GP* — 7. κε, με, πα inuerso ord. *GPH* — 8. διπλασιεπιτετράπεμπτος *C* — 9. ἐν τοῖς] οἷον *C* — 11. ἐπιπεντέννατος *C* — 12. ὡς ἐν τοῖς] οἷον *C* — 13. πα, με, κε ἢ add. G_1P (om. ἢ) — 14. τὰ ἑξ. *PH* — 15. εὑρήσεις] *CSH*[*N*]*Γ* (G_2 ad scholia Io. Philoponi cf. p. XV ed. meae) haecce addunt: ἐπὶ πασῶν μέντοι τῶν ἐκκειμένων θέσεων [ἐκθέσεων $G_2SΓ$] πάντως οἱ ἄκροι τετράγωνοί εἰσιν· οἱ δὲ μέσοι
-ων
ἐκ τῶν πλευρῶν αὐτῶν ἐπ' ἀλλήλοις [-αις G_2 -ας *C* -ας *Γ*] γινομένων [γεν. G_2S] καὶ ὁ μὲν πρῶτος [α G_2] τῆς ἀπογεννώσης εἰς τὸν ἐλάττονα [ἐλάχιστον *C*] τῆς γινομένης μεταβαίνει, ἐν ἀμφοτέραις δὲ ταῖς γεννηθείσαις ὁ ἔσχατος καὶ μείζων τετράγωνος ὁ αὐτός ἐστιν [ὡςαύτως εἰσὶν *Γ*]. his additamenti uerbis cum codicum lectione compositis (§ 15) Astius hanc proposuit scripturam: ἐπὶ πασῶν δὲ τῶν ἐκκειμένων σχέσεων, τῶν διαζευχθεισῶν καὶ ἀφ' ἧς ἀμφότεραι, πάντες οἱ ἄκροι τετράγωνοί εἰσιν, οἱ δὲ μέσοι ἐκ τῶν πλευρῶν αὐτῶν ἐπαλλήλων γίνονται· καὶ ὁ μὲν πρῶτος τῆς ἀπογεννώσης εἰς τὸν ἐλάττονα τῆς γεννωμένης μεταβαίνει, ἐν ἀμφοτέραις δὲ ταῖς γεννηθείσαις ὁ ἔσχατος καὶ μείζων τετράγωνος ὁ αὐτὸς ἐστίν. — In omnibus fere codicibus Nicomachi praecepta exemplis quibusdam inlustrantur, e quibus ea, quae cod. Gotting. adscripsit, lectori proponere satis habuimus:

1. (§. 8): ὅρα, πῶς ἐκ τῆς ἰσότητος ἀπογεννῶνται τὰ τοῦ πολλαπλασίου εὔτακτα εἴδη·

	α	α	α
διπλ.			
	α	β	δ
τριπλ.			
	α	γ	θ
τετραπλ.			
	α	δ	ις
πενταπλ.			
	α	ε	κε
ἑξαπλ.			
	α	ς	λς
ἑπταπλ.			
	α	ζ	μθ
ὀκταπλ.			
	α	η	ξδ
ἐναπλ.			
	α	θ	πα
δεκαπλ.			
	α	ι	ρ

2. (§. 9): ὅρα, πῶς οἱ ἡμιόλιοι ἀπὸ τῶν διπλασίων ἀναστραφέντων·

διπλάσιοι ἀναστραφέντες	δ	β	α
[ἡμιόλιοι]	δ	ς	θ·

ὅρα, πῶς οἱ ἐπίτριτοι ἀπὸ τῶν τριπλασίων, ἀναστραφέντων καὶ τούτων·

τριπλάσιοι ἀναστραφέντες	θ	γ	α
ἐπίτριτοι	θ	ιβ	ις·

ὅρα, πῶς καὶ οἱ ἐπιτέταρτοι ἀπὸ τῶν τετραπλασίων ἀναστραφέντων·

τετραπλάσιοι	ις	δ	α
ἐπιτέταρτοι	ις	κ	κε·

πῶς καὶ ἐκ τῶν πενταπλασίων οἱ ἐπίπεμπτοι·

κε	ε	α
κε	λ	λς·

πῶς ἐκ τῶν ἑξαπλασίων οἱ ἔφεκτοι·	λς	ς	α
	λς	μβ	μθ·
πῶς ἐκ τῶν ἑπταπλασίων οἱ ἐφέβδομοι·	μθ	ζ	α
	μθ	νς	ξδ·

καὶ ἐκ τῶν ὀκταπλασίων οἱ ἐπόγδοοι· ξδ η α
ξδ οβ πα·

καὶ ἐκ τῶν ἐναπλασίων οἱ ἐπένατοι· πα θ α
πα ϟ ρ·

καὶ ἐκ τῶν δεκαπλασίων οἱ ἐπιδέκατοι· ρ ι α
ρ ρι ρκα.

3. (§. 10): *ὅρα, πῶς ἀναστρόφως ἐκκείμενοι οἱ ἐπιμόριοι ἀπεγέννησαν τοὺς ἐπιμερεῖς·*

τὰ εἴδη τοῦ ἐπιμορίου·

ἡμιόλιοι ἀναστραφέντες			*ἐπίτριτοι*			*ἐπιτέταρτοι*		
θ	ϛ	δ	ιϛ	ιβ	θ	κε	κ	ιϛ
ἐπιδιμερεῖς			*ἐπιτριμερεῖς*			*ἐπιτετραμερεῖς*		
θ	ιε	κε	ιϛ	κη	μθ	κε	με	πα
ἐπίπεμπτοι			*ἔφεκτοι*			*ἐφέβδομοι*		
λϛ	λ	κε	μθ	με	λϛ	ξδ	νϛ	μθ
ἐπιπενταμερεῖς			*ἐφεξαμερεῖς*			*ἐφεπταμερεῖς*		
λϛ	ξϛ	ρκα	μθ	ϟα	ρξθ	ξδ	ρκ	σκε
ἐπόγδοοι			*ἐπένατοι*			*ἐπιδέκατοι*		
πα	οβ	ξδ	ρ	ϟ	πα	ρκα	ρι	ρ
ἐποκταμερεῖς			*ἐπεναμερεῖς*			*ἐπιδεκαμερεῖς*		
πα	ρνγ	σπθ	ρ	ρϟ	τξα	ρκα	σλα	υμα

(in exemplis tribus extremis cod. *G* articulum adponit: *οἱ ἐπόγδ.* cet.)

Τέλος P. Τέλος τοῦ πρώτου ἀριθμητικῆς εἰσαγωγῆς εἰς δύο τοῦ Γερασυνοῦ μ. Τέλος τοῦ πρώτου βιβλίου HΓ

Ed. Par. p. 39

ΝΙΚΟΜΑΧΟΥ ΓΕΡΑΣΗΝΟΥ

ΠΥΘΑΓΟΡΙΚΟΥ

ΑΡΙΘΜΗΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ

ΤΩΝ ΕΙΣ ΔΥΟ ΤΟ ΔΕΥΤΕΡΟΝ.

α. Ἐπειδὴ στοιχεῖον λέγεται καὶ ἔστιν, ἐξ οὗ I ἐλαχίστου συνίσταταί τι καὶ εἰς ὃ ἐλάχιστον ἀναλύεται (οἷον γράμματα μὲν τῆς ἐγγραμμάτου φωνῆς στοιχεῖα λέγεται, ἐξ αὐτῶν τε γὰρ ἡ σύστασις τῆς συμπάσης ἐνάρθρου φωνῆς καὶ εἰς αὐτὰ ἔσχατα ἀναλύεται· φθόγγοι δὲ μελῳδίας ἁπάσης, ἀφ' ὧν ἄρχεται συγκρίνεσθαι καὶ εἰς οὓς ἀναλύεται· κοινῇ δὲ τοῦ κόσμου τὰ λεγόμενα τέσσαρα στοιχεῖα ἁπλᾶ ὑπάρχει

I. Io. Phil. Schol. ined. rec. I (codd. *GH*) *α—δ*; rec. II. (cod. *C*) *α—δ*. — Boëth. II. 1.

---

1. *ΓΕΡΑΣΙΝΟΥ P* — 2. *ΠΥΘ* om. *P* *Πυθαγορείου S* *Τοῦ αὐτοῦ CΓ* *Τοῦ αὐτοῦ εἰς δύο δεύτερον μ* — 3. *εἰςαγωγῆς* om. *P* — 4. *εἰς τὰ δύο S* — *βιβλίον δεύτ.* (om. *τῶν εἰς δύο*) *H*

I. 6. *ἐλαχίστ. συνίστ.*] *πρωτίστου ἄρχεταί C* — *ἐλάχιστον*] *γρ. ἔσχατον P* in mrg. — 8. *γὰρ* om. *G* — 9. *καὶ . . . ἀναλ.* om. *GP* — 10. *ἀφ' ὧν*] *φωνῆς P* — 12. *στοιχεῖα*] *ἅπερ* add. *C* — *ἁπλῶς P*

σώματα, πῦρ, ὕδωρ, ἀήρ, γῆ· ἐκ γὰρ πρωτίστων αὐτῶν ἡ σύστασις τοῦ παντὸς φυσιολογεῖται καὶ εἰς αὐτὰ ἔσχατα ἐπινοεῖται ἡ ἀνάλυσις), ἀποδεῖξαι δὲ βουλόμεθα, ὅτι καὶ ἡ ἰσότης στοιχεῖόν ἐστι τοῦ πρός τι ποσοῦ· τοῦ γὰρ ἁπλῶς καὶ καθ' αὑτὸ ποσοῦ μονὰς ἦν καὶ δυὰς τὰ ἀρχικώτατα στοιχεῖα, ἐξ ὧν ἐλαχίστων καὶ ἐπ' ἄπειρον ἀεὶ συνίσταται καὶ αὔξεται
2 *ται καὶ ἐπὶ τὸ μεῖον ἀναλυόμενον ἵσταται. ἀλλὰ τὴν μὲν ἐπὶ τῆς ἀνισότητος προκοπὴν καὶ ἐπαύξησιν ἀπεδείξαμεν ἀπὸ ἰσότητος γινομένην ἐπὶ πάσας ἁπλῶς τὰς σχέσεις μετά τινος εὐταξίας διὰ τριῶν προσταγμάτων· λοιπὸν δ', ἵν' ὡς ἀληθῶς στοιχεῖον ᾖ, ἀποδεικνύειν, ὅτι καὶ αἱ ἀναλύσεις ἐπ' αὐτὴν ἐσχάτην περαιοῦνται· ἔφοδον ἰστέον τοιαύτην καθολικήν.*

11 *β. Δοθέντων σοι τριῶν ὅρων ἐν ᾑτινιοῦν σχέσει καὶ ἀναλογίᾳ, εἴτε πολλαπλασίῳ εἴτε ἐπιμορίῳ εἴτε ἐπιμερεῖ εἴτε συνθέτῳ ἀπὸ τούτων πολλαπλασιεπιμορίῳ ἤτοι πολλαπλασιεπιμερεῖ, μόνον ἵνα ἐν τῷ αὐτῷ λόγῳ ὁ μέσος πρὸς τὸν ἐλάττονα θεωρῆται, ἐν ᾧ ὁ μείζων πρὸς τὸν μέσον ἢ ἀνάπαλιν, αἰεὶ τὸν ἐλάττονα ἀφαίρει ἀπὸ τοῦ μέσου, ἐάν τε πρῶτος ᾖ κείμενος ἐάν τε ἔσχατος, καὶ τίθει αὐτὸν μὲν τὸν*

II. Io. Phil. rec. I *ε—ιβ*: rec. II *ε—ια*. — Soterichi Schol. ined. (cod. *H*) — Boëth. II. 2.

---

8. *ἀναλυομένου G -μενα PSH* — 9. *ἐπὶ* om. *H* — *αὔξησιν H* — 12. 13. *λοιπόν, ἵν' ὡς ἀλ. ᾖ, ἀποδ. ὅτι στοιχεῖόν ἐστι καὶ ὅτι καὶ αἱ ἀναλ. C* — 14. *ἔφοδον] οὖν* add. *P δὲ H* — *καθολικῶς P*

II. *Ἡ ἔφοδος P* — 16. *σχέσει] θέσει* G_1; *σχέσει* tuetur Io. Phil. rec. II, *ε* — 18. *ἐπισυνθέτῳ H* — *πολλαπλασιπιμορίῳ* om. *GPH*

ἐλάσσονα πρῶτον ὅρον, τὸ δὲ λειφθὲν ἀπὸ τοῦ
p δευτέρου μετὰ τὴν ἀφαίρεσιν δεύτερον τάσσε ὅρον,
40 ἑνὸς δὲ τοιούτου πρώτου καὶ δύο τοιούτων δευτέ-
ρων ἀφαιρεθέντων ἀπὸ τοῦ λοιποῦ, τουτέστιν ἀπὸ
τοῦ μείζονος τῶν δοθέντων σοι, τὸ λειπόμενον ποίει
τρίτον ὅρον καὶ ἔσονται αἱ γινόμεναι ἐν ἄλλῃ τινὶ
σχέσει προγενεστέρᾳ κατὰ φύσιν. πάλιν δὲ ἀπ' 2
αὐτῶν τούτων τῷ αὐτῷ τρόπῳ ἂν ἀφέλῃς ὅρου τὸ
λειπόμενον, οἱ τρεῖς ὅροι ἀναπεποδισμένοι σοι εὑρε-
θήσονται εἰς πυθμενικωτέρους ἄλλους τρεῖς, καὶ
τοῦτο ἀεὶ ἀκόλουθον εὑρήσεις γινόμενον, μέχρις ἂν
εἰς ἰσότητα ἀναχθῶσιν· ἐξ οὗ πᾶσα ἀνάγκη δηλο-
νότι ἀποφαίνεσθαι, τὴν ἰσότητα τοῦ πρός τι ποσοῦ
στοιχεῖον πάντως εἶναι. παρέπεται δὲ τῇ τοιαύτῃ 3
θεωρίᾳ ἐμμουσότατόν τι θεώρημα καὶ χρησιμώτατον
εἴς τε τὴν Πλατωνικὴν ψυχογονίαν καὶ εἰς τὰ ἁρ-
μονικὰ διαστήματα πάντα· κελευόμεθα γὰρ ἐκεῖ
πυκνῶς λόγου χάριν ἀποστῆσαι ἐφεξῆς δύο ἡμιο-
λίους λόγους ἢ τρεῖς ἢ τέσσαρας ἢ πέντε ἢ ἐπ'
ἄπειρον ἢ δύο ἐπιτρίτους ἢ ἐπιτετάρτους ἢ ἐπογ-
δόους ἢ οἵους δήποτε ἐπιμορίους καὶ καθ' ἕκαστον
αὐτῶν ἢ τρεῖς ἢ τέσσαρας ἢ πέντε ἢ μέχρις ὅσων
τις προστάσσει. εὔλογον δέ ἐστι, μὴ ἰδιωτικῶς καὶ 4
ἀνεπιστημόνως, ἔστι δὲ ὅτε καὶ διημαρτημένως τὸ
τοιοῦτον ποιεῖν, ἀλλ' ἐντέχνως τε καὶ ἀπταίστως
καὶ τάχιστα ἐφόδῳ τοιαύτῃ.

1. τὸν δὲ λειφθέντα *S* — 3. δευτέρων om. *H* — 5. σοι om. *G* — 7. ἀπ'] ἐπ' *S* — 8. ἀφέλησι ἀπὸ τῶν αὐτῶν ὅρων *P* — 11. ἂν] οὗ *S* — 14. παντὸς *H* — εἶναι om. *S* — 15. ἐμμουσώτατον *P* τε καὶ γλαφυρώτατον add. *H* εὐμουσότ. *S* *ut ait Nicomachus* ἐννοιόφατον θεώρ. Boëth. — χρησιμεύει Soterich. — 16. ψυχωγονίαν *PS*, cf. Plat. Tim. — 22. ὕσον *P* — 22. 23. ὅσων ἂν τις προστάσσοι *C* ὧν ἂν τις προστάσση *S* ἂν ὅσων τις ἐπιτάξῃ *H* — 26. ἐφ' ὅδῳ *P*

III γ. Ἅπας πολλαπλάσιος τοσούτων ἐπιμορίων
ἡγήσεται λόγων ἀντιπαρωνύμων αὐτῷ, ὁπόστος ἂν
αὐτὸς ὢν τυγχάνῃ ἀπὸ μονάδος, οὔτε δὲ πλειόνων
2 οὔτε ἐλαττόνων οὐδεμιᾷ μηχανῇ. διπλάσιοι μὲν οὖν
ἡμιολίους φύσουσιν, ὁ πρῶτος ἕνα, ὁ δεύτερος δύο,
ὁ τρίτος τρεῖς, ὁ τέταρτος τέσσαρας, ὁ πέμπτος
πέντε, ὁ ἕκτος ἓξ καὶ οὔτε πλείονας οὔτε ἐλάττονας, ἀλλ' ἐξ ἀνάγκης πάσης, ὅταν τὴν σύμμετρον
ποσότητα ἀπολάβωσιν οἱ γεννηθέντες ἐπιμόριοι ἰσάριθμοι γενόμενοι τοῖς γεννήσασι πολλαπλασίοις, τότε
δὴ ἔκ τινος δαιμονίας μηχανῆς εὑρίσκεται ὁ πάντας
περαίνων ἀριθμὸς ἀνεπίδεκτος ὢν φύσει ἐκείνου
τοῦ μορίου, καθ' ὃ προέκοπτον οἱ ἐπιμόριοι· ἀπὸ
δὲ τῶν τριπλασίων οἱ ἐπίτριτοι πάντες προκόψουσι p
καὶ αὐτοὶ ἰσάριθμοι τοῖς γεννῶσιν οἱ γεννώμενοι 41
καὶ περαιούμενοί γε μετὰ τὴν αὐτάρκειαν τῆς προκοπῆς εἰς ἀριθμοὺς μὴ ἐπιδεκτικοὺς τρίτου· καὶ ἐπιτέταρτοι δὲ κατὰ ταυτὸν ἐκ τετραπλασίων ἐπικορύφωσιν λαμβάνοντες ἀριθμὸν μετὰ τὴν αὐτάρκη
3 πρόβασιν τετάρτου μὴ ἐπιδεκτικόν. οἷον διπλασίων
μὲν ὑποδείγματος χάριν ἰσαρίθμους γεννώντων
ἡμιολίους ὁ μὲν ἄνω στίχος ἔσται πολλαπλασίων ὁ
πρῶτος

III. Io. Phil. rec. I, ιγ—ις; rec. II, ιβ—ιε. — Iambl. p. 72. 73. — Boëth. II. 2.

III. *Μέθοδος, ὅπως δεῖ ἐκ τῶν πολλαπλασίων τοὺς ἐπιμορίους εὑρίσκειν P* — 2 *ἀντιπαρωνυμούντων H* — *ὁπόσος H* — 3. *τυγχάνει P -οι C* — 7. *ὁ ἕκτ. ἓξ* om. *H* — 9. *ἐπιμόριοι* om. *PC* — 12. *περαιῶν PC* — 14. *προκόπτουσι H* — 15. *γινόμενοι*, om. *οἱ C* — 16. *μετ' αὐτὴν αὐτάρκη αὐτῆς προκ. P* — 17. *ἀριθμὸν SH* — *ἐπιδεκτικὰ G δεκτικὸν H τρίτον ἀνεπιδεκτικὸν S* — 18. *περικορύφωσιν H* — 20. *δεκτικὸν H*

α, β, δ, η, ις, λβ, ξδ·

ἐπεὶ δὲ πρῶτός ἐστιν ὁ β μετὰ τὴν μονάδα, ἑνὸς κατάρξει οὗτος ἡμιολίου μόνου τοῦ γ, ὅστις ἡμίσους ἐπιδεκτικὸς οὐκ ἔστιν, ἵνα καὶ ἄλλος αὐτοῦ γένηται ἡμιόλιος· ὁ πρῶτος ἄρα διπλάσιος ἑνὸς μόνου γεννητικός ἐστιν ἡμιολίου, ὁ δὲ δεύτερος ὁ δ δυεῖν γεννητικὸς ἡμιολίων, αὐτοῦ μὲν γὰρ ὁ ς, τοῦ δὲ ς ὁ θ, τοῦ δὲ θ οὐκ ἔστιν ἄλλος, ἥμισυ γὰρ οὐκ ἔχει· ὁ δὲ η τρίτος ὢν διπλάσιος τριῶν ἡμιολίων ἔσται πατήρ, ἑνὸς μὲν τοῦ ιβ πρὸς αὐτόν, ἑτέρου δὲ τοῦ ιη πρὸς τὸν ιβ, τρίτου δὲ τοῦ κζ πρὸς τὸν ιη, τετάρτου δὲ οὐκέτι διὰ τὸ καθολικόν, ὁ γὰρ κζ ἥμισυ οὐκέτι ἐπιδέχεται· ὁ δὲ ις τέταρτος ὢν διπλάσιος τεσσάρων ἡγήσεται ἡμιολίων, τοῦ τε κδ, τοῦ λς, τοῦ νδ καὶ τοῦ πα τελευταίου, ἵνα ἰσάριθμοι ἀνάγκαίως ὦσι τοῖς γεννήσασιν, ὁ γὰρ πα οὐκέτι ἥμισυ φύσει ἐπιδέχεται· καὶ τοῦτο μέχρις ἀπείρου προιὼν ἀνάλογον εὑρήσεις. οἷον ὑποδείξεως ἕνεκα γε- 4
γράφθω οὕτως διπλασίου διάγραμμα·

Διπλασίων διάγραμμα·

κατὰ τὸ πλάτος διπλάσιον.

α	β	δ	η	ις	λβ	ξδ
	γ	ς	ιβ	κδ	μη	ϙς
		θ	ιη	λς	οβ	ρμδ
			κζ	νδ	ρη	σις
				πα	ρξβ	τκδ
					σμγ	υπς
						ψκθ

κατὰ τὴν ὑποτείνουσαν τριπλάσιον.

κατὰ τὸ βάθος ἡμιόλιον.

---

1. ξδ] ρκη add. *C* — 3. ἄρξει *S* — μόνου] λόγου *S*, om. *C* — ὅς *H* — 4. ὑπ᾽ αὐτοῦ *S* ἀπ᾽ αὐτοῦ *H* — 5. γενητικός *G* — 6. ἔσται *C* — δυεῖν *G* — 7. ἡμιολίοιν *S* — 10. ἑαυτὸν *S* — 12. ὁ γὰρ] ὁ μὲν *G* — 13. ἐπιδέχεται] ἵνα καὶ ἄλλος ὑπ᾽ αὐτοῦ γένηται ἡμιόλιος add. *S* — 16. τῷ γεννήσαντι ις *C* — 16. 17. φύσ. ἥμ. οὐκ ἐπιδ. *H* — 18. ὑποδείγματος χάριν *CS* — ἕνεκεν *H* — ἐγγεγράφθω *S* 19. διπλασίων *H* — 20. schema om. *PH*; *CS* sic inscri-

IV *δ. Τριπλασίου δὲ ὑπόδειγμα παραπλήσιον διαγράφειν δεῖ·*

Τριπλασίων διάγραμμα·
κατὰ μὲν τὸ πλάτος τριπλάσιον.

α	γ	ϑ	κζ	πα	σμγ	ψκϑ
	δ	ιβ	λϛ	ρη	τκδ	ϡοβ
		ιϛ	μη	ρμδ	υλβ	͵ασϟϛ
			ξδ	ρϟβ	φοϛ	͵αψκη
				σνϛ	ψξη	͵βτδ
					͵ακδ	͵γοβ
						͵δϟϛ

κατὰ δὲ τὴν ὑποτείνουσαν τετραπλάσιον.

κατὰ δὲ τὸ βάθος ἐπίτριτον.

ἐν ᾧ κατὰ ταυτὰ ὀψόμεθα τὸν μὲν πρῶτον τὸν γ ἑνὸς μόνου ἐπιτρίτου ἡγούμενον λόγου τοῦ δ πρὸς αὐτόν, ὅςτις ἀποκλείει εὐθὺς ἑτέρου γένεσιν ὁμοίου· τρίτον γὰρ οὐκ ἐπιδέχεται ὁ δ, οὐκ ἄρα οὐδ' ἐπίτριτον ἕξει· δεύτερος δὲ τριπλάσιός ἐστιν ὁ ϑ, διὰ τοῦτο δυεῖν μόνων ἐπιτρίτων κατάρξει λόγων τοῦ τε ιβ πρὸς αὐτὸν καὶ τοῦ ιϛ πρὸς τὸν ιβ· ὁ δὲ ιϛ ἀνακόπτει τὴν πρόβασιν λοιπόν, τρίτου γὰρ οὐκ ἔστιν ἐπιδεκτικός, διόπερ οὐδὲ ἐπίτριτόν τινα ἕχει
2 *ἐν ἑαυτῷ. ἑξῆς δὲ τέτακται τριπλάσιος ὁ κζ ἐν τρίτῃ ἀπὸ μονάδος χώρᾳ τριπλασίων προχωρούντων*

IV. Io. Phil. rec. I, ιζ, ιη. — Iambl. p. 72. 73. — Boëth. II. 2.

---

bunt: *διπλάσιοι κατὰ πλάτος — ἡμιόλιοι τῶν ἐπάνω οἱ κάτω — τριπλάσιοι οἱ διαγώνιοι πάντες*; idem codd. seriem perpendicularem octauam addunt: *ρκη, ρϟβ, σπη, υλβ, χμη, ϡοβ, ͵αυνη, ͵βρπζ.*

IV. 1. *τριπλασίων H* — *παράδειγμα* om. *H* — 3—11. Diagramma om. *PH*; codd. *CS*, in quibus series septima *ψκϑ... ͵δϟϛ* abest, hasce praebent inscriptiones: *τριπλάσιοι κατὰ πλάτος — ἐπίτριτοι τῶν ἐπάνω οἱ κάτω — τετραπλάσιοι οἱ διαγώνιοι* — 12. *ταυτὸν P* — 14. *ἀποκλείσει P* — 16. *ἕχει H* —. 17. 18. *τουτέστι ιβ P* — 19. *τρίτον G* — 20. *τινα* om. *H* — 20. 21. *ἕχει ἑαυτοῦ C* — *ἕξει αὐτοῦ H* — 22. *τριπλασίως CH*

α, γ, ϑ, κζ·

p διὰ τοῦτο τριῶν μόνων κατάρξει καὶ αὐτὸς ἐπιτρί-
42 των λόγων, πλειόνων δὲ οὐδαμῶς· αὐτοῦ μὲν γὰρ πρῶτος ὁ λς, τούτου δὲ δεύτερος ὁ μη, τρίτος δὲ τούτου ὁ ξδ, ὃς οὐκέτι τρίτον μέρος ἔχει, διὸ οὐδ' ἐπιτρίτου δεκτικός, καὶ ὁ τέταρτος τεσσάρων ἡγεμὼν ἔστι λόγων καὶ ὁ πέμπτος δηλονότι πέντε. τὸ 3
δὲ ὑπόδειγμα τοιοῦτον· καὶ ἐπὶ τῶν λοιπῶν δὲ πολυπλασίων ὁ αὐτὸς τῶν διαγραμμάτων ἔστω σοι τρόπος παρατηροῦντι, ὅτι καὶ ἐνταῦθα ἡ φύσις, ὥςπερ καὶ ἐν τοῖς προτεχνολογηθεῖσιν εὕρομεν, προγενεστέρους ἡμῖν παρεμφαίνει διπλασίους μὲν τριπλασίων, τριπλασίους δὲ τετραπλασίων, τούτους δὲ πενταπλασίων, καὶ ἀεὶ οὕτως μέχρι παντός· οἱ μὲν γὰρ ἐπὶ πλάτος στίχοι οἱ ἀνωτάτω, ἐὰν ὦσι διπλάσιοι, ὁμοίως ἕξουσι τοὺς ὑπ' αὐτοὺς παραλλήλους κειμένους, τοὺς δὲ ὑποτείνοντας διαγωνίους τοῦ αὐτοῦ γένους τὸ συνεχὲς καὶ μονάδι μεῖζον εἶδος, ὅ ἐστι τριπλασίους, ἐν παραλλήλῳ ἐξετάσει θεωρουμένους· εἰ δ' οἱ ἐπὶ πλάτος εἶεν τριπλάσιοι, πάντως οἱ διαγώνιοι ἔσονται τετραπλάσιοι, εἰ δὲ ἐκεῖνοι τετραπλάσιοι, εὐθὺς οὗτοι πενταπλάσιοι, καὶ τοῦτο μέχρις ἀεί.

---

6. δεκτικός] ἐστι add. *H* — ἡμῶν G_1 — 7. ἔσται *SH* — 10. παρατηροῦντι] σοι add. *S* — 11. ὥςπερ καὶ] καθάπερ *S* — εὑρίσκομεν *H* — 15. ἀνώτατοι *S* — 16. παραλλήλως *P* — 18. μονάδος *P*, om. *C* — 19. ἐν παρ. . . . θεωρουμ. om. *S* — 20. εἶεν] εἰσί *H* — 23. Diagrammata, quae supra adposuit, hic repetit codex *G* sic inscripta: 1. τριπλάσιοι πάντες οἱ διαγώνιοι — ἡμιόλιοι τῶν ἄνω οἱ κάτω. 2. τετραπλάσιοι πάντες οἱ διαγώνιοι — ἐπίτριτοι τῶν ἄνω οἱ κάτω.

V ε. *Λοιπὸν δεῖ, σαφηνίσαντας τὰς τῶν λόγων
συνθέσεις, τίνων ἑτέρων ἀποδοτικαί εἰσι, μεταβῆναι
2 ἐπὶ τὰ τῆς εἰςαγωγῆς ἀκόλουθα. οἱ πρῶτοι τοίνυν
τοῦ ἐπιμορίου δύο λόγοι συλληφθέντες εἰς τὸ αὐτὸ
γεννῶσι τὸν τοῦ πολλαπλασίου πρῶτον λόγον, τουτ-
έστι τὸν διπλάσιον· πᾶς γὰρ διπλάσιος σύστημα
ἔσται ἡμιολίου καὶ ἐπιτρίτου καὶ πᾶς ἡμιόλιος καὶ
ἐπίτριτος συντεθέντες ἀποδοτικοὶ ἑνὸς διπλασίου
πάντως ἔσονται· οἷον ἐπεὶ ὁ γ ἡμιόλιος τοῦ β, ὁ δὲ
δ ἐπίτριτος τοῦ γ, ἔσται τοῦ β ὁ δ διπλάσιος σύν-
θετος ὢν ἐξ ἡμιολίου καὶ ἐπιτρίτου· πάλιν ἐπεὶ ὁ ς
διπλάσιός ἐστι τοῦ γ, εὑρήσομεν ἀνὰ μέσον αὐτῶν
ἀριθμόν τινα τεταγμένον, ὃς ἐξ ἀνάγκης πρὸς μὲν
τὸν ἕτερον τὸν ἐπίτριτον σώζει λόγον, πρὸς δὲ τὸν
λοιπὸν τὸν ἡμιόλιον· ὁ γοῦν δ ἀνὰ μέσον κείμενος
τοῦ ς καὶ τοῦ γ πρὸς μὲν τὸν γ ἀποδίδωσι λόγον
3 ἐπίτριτον, πρὸς δὲ τὸν ς τὸν ἡμιόλιον. ὀρθῶς ἄρα
ἐλέχθη, διαλυόμενον μὲν τὸν διπλάσιον εἰς ἡμιόλιον
καὶ ἐπίτριτον διαλύεσθαι, συντιθεμένων δὲ πάντως
ἡμιολίου καὶ ἐπιτρίτου μόνον συνίστασθαι διπλά- P
σιον καὶ τὰ τοῦ ἐπιμορίου δύο πρώτιστα εἴδη συν- 43
τεθέντα ποιητικὰ εἶναι τοῦ τῶν πολλαπλασίων
4 πρωτίστου εἴδους. πάλιν δὲ ἐξ ἄλλης ἀρχῆς τὸ
γεννηθὲν τοῦτο τοῦ πολλαπλασίου πρώτιστον εἶδος
μετὰ τοῦ πρώτου τῶν ἐπιμορίων εἴδους ἀποδοτικὸν*

V. Io. Phil. rec. I, ιθ, κ; rec. II, ις, ιζ. — Boëth. II. 3.

V. 1. 2. *Λοιπὸν δὴ . . . μεταβῆναι δέον* C — 1. *προ-σαφηνίσαντας* PCSH — *τῶν ἀναλογιῶν λόγων* G — 5. *ὅ ἐστι* SH — 8. *συντιθέντες* G — 9. *πάντος* G *παντός* P — 12. *ἕνα τινὰ* SH — 14. *σώσει* S — 19. *συντεθειμένον* P *συντιθέμενον* S — 21. *δύο* om. C — *συντιθέντα* G

γίνεται τοῦ ὁμογενοῦς αὐτῶν συνεχοῦς εἴδους, τουτέστι τοῦ δευτέρου πολλαπλασίου, ὅπερ ἐστὶ τριπλασίου· ἐκ γὰρ παντὸς διπλασίου καὶ ἡμιολίου συντεθέντων τριπλάσιον ἐξ ἀνάγκης φύεται· οἷον ἐπεὶ τοῦ ϛ διπλάσιος ὁ ιβ, αὐτοῦ δὲ τούτου ἡμιόλιος ὁ ιη, εὐθὺς καὶ τριπλάσιος ὁ ιη τοῦ ϛ· καὶ ἑτέρῳ τρόπῳ ἐὰν μὴ τὸν ιβ θέλω μέσον ποιεῖν, ἀλλὰ μᾶλλον τὸν τοῦ ϛ ἡμιόλιον τὸν θ, τὸ αὐτό μοι ἀπαράλλακτον καὶ σύμφωνον συμβήσεται· τοῦ γὰρ θ ὁ ιη διπλάσιος ὢν τὸν τριπλάσιον λόγον σώσει πρὸς τὸν ϛ· ἐξ ἡμιολίου ἄρα καὶ διπλασίου πρώτων εἰδῶν ἐπιμορίου καὶ πολλαπλασίου συνίσταται μιγέντων τὸ δεύτερον εἶδος τοῦ πολλαπλασίου τὸ τριπλάσιον καὶ εἰς αὐτὰ δὲ πάντως ἀναλύεται. ἰδοὺ 5
γὰρ ὁ ϛ τοῦ β τριπλάσιος ὢν ἕξει μέσον τὸν γ, ὃς δύο λόγους παραδείξει, τὸν μὲν ἡμιόλιον πρὸς τὸν β, πρὸς ἑαυτὸν δὲ διπλάσιον τὸν τοῦ ϛ· ἐὰν δὲ καὶ ὁ τριπλάσιος οὗτος δεύτερον εἶδος ὢν τοῦ πολλαπλασίου συντεθῇ ἐπιτρίτῳ δευτέρῳ εἴδει ὄντι τοῦ ἐπιμορίου γένοιτ' ἂν ἐξ ἀμφοτέρων τὸ συνεχὲς τοῦ πολλαπλασίου εἶδος, τουτέστι τὸ τετραπλάσιον, ὃ καὶ ἀναγκαίως εἰς ἀμφότερα ἀναλυθήσεται κατὰ τὴν αὐτὴν τοῖς προδεδηλωμένοις φύσιν· τὸ δὲ τετραπλάσιον προςλαβὸν τὸ ἐπιτέταρτον ποιητικὸν ἔσται τοῦ πενταπλασίου καὶ πάλιν ἐκεῖνο σὺν τῷ

---

1. αὐτῷ C — 2. ὃ ἐστι CS — 4. συντιθέντων G — ἀνάφύεται H γίνεται S — 7. μεσοποιεῖν P — 10. σώζει CH — 11. 12. πρώτου εἴδους ἐπιμορίου καὶ πρώτου εἴδους πολυπλασίου S — 13. πολυπλ. S — 15. τοῦ β] τοῦ δευτέρου G — 20. γένοιντ' G — 21. τετραπλάσιον] τριπλάσιος δὲ ὁ ϛ τοῦ β [ἐπεὶ γὰρ ὁ ϛ τοῦ β τριπλ. H] ἐπίτριτος [δὲ H] ὁ η τοῦ ϛ, ὁ η ἄρα τοῦ β τετραπλάσιος add. SH — 24. προςλαβών P

ἐπιπέμπτῳ τοῦ ἑξαπλασίου, καὶ τοῦτο μέχρι παντός, ἵνα εὔτακτοι οἱ ἐξ ἀρχῆς πολλαπλάσιοι μετὰ εὐτάκτων τῶν ἐξ ἀρχῆς ἐπιμορίων ἀποδοτικοὶ εὑρίσκωνται τῶν ἐπὶ τὸ μεῖζον συνεχῶν πολλαπλασίων· διπλάσιος μὲν γὰρ μεθ' ἡμιολίου τριπλασιότητος ποιητικός, τριπλάσιος δὲ μετ' ἐπιτρίτου τετραπλασιότητος, τετραπλάσιος δὲ μετ' ἐπιτετάρτου πενταπλασιότητος καί, ἕως προχωρεῖν θέλεις, οὐδὲν p. 44 *ὑπεναντίον σοι συμβαῖνον φανεῖται.*

VI ς. *Μέχρι μὲν οὖν τοῦδε ἱκανῶς περὶ τοῦ πρὸς ἕτερόν πως ἔχοντος ποσοῦ διειλέγμεθα συμμετρησάμενοι κατ' ἐκλογὴν τὰ προςήκοντα καὶ εὐπερίληπτα τῇ τῶν ἄρτι εἰςαγομένων ἕξει· τὰ γὰρ εἰς τὸν τόπον τοῦτον ὑπόλοιπα προςπληρωθήσεται διαλιπόντων πάλιν ἡμῶν καὶ προτεχνολογησάντων ἕτερά τινα προὐργιαιτέραν τὴν σκέψιν ἔχοντα ἐκ τῶν συμβεβηκότων τῷ καθ' αὑτὸ ποσῷ καὶ μὴ τῷ πρὸς ἕτερόν πως ἔχοντι, αἰεὶ γὰρ δι' ἀλλήλων φιλεῖ πως διαρθροῦσθαι καὶ σαφηνίζεσθαι τὰ ἐν τοῖς μαθήμασι θεωρήματα· ἃ δὲ χρὴ προεπισκοπῆσαι καὶ προθεάσασθαι, ἔστι περί τε γραμμικῶν ἀριθμῶν καὶ*

VI. Io. Phil. rec. I, *κα—κη*; rec. II, *ιη—κα*. — Iambl. p. 80—82. — Boëth. II. 4.

---

3. *εὑρίσκονται P* — 8. *ἕως ἂν . . θέλῃς SH* — 9. *σοι*] *μοι C*, om. *P* — *συμβαῖναι P* — *φανήσεται H* — codices Nicomachi uerba schematibus inlustrant huncce in modum compositis:



cet.

VI. 10. *οὖν* om. *C* — 14. *προςπληρωθήσονται C* — 20. *θεωρούμενα H* — 20. 21. *ἐπισκοπ. καὶ θεάσασθαι S* — 21. *γραμμι////κῶν G*

ἐπιπέδων καὶ στερεῶν, κυβικῶν τε καὶ σφαιρικῶν, καὶ ἰσοπλεύρων καὶ σκαληνῶν, πλινθίδων τε καὶ δοκίδων καὶ σφηνίσκων καὶ τῶν ὁμοίων, ἃ δὴ ἰδίως μὲν ἐν τῇ γεωμετρικῇ παραδίδοται εἰςαγωγῇ τοῦ πηλίκου οἰκειότερα ὄντα, σπερματικώτερον δὲ προςπαραλαμβάνεται ἐν τῇ ἀριθμητικῇ ὡςὰν μητρὶ καὶ ἀρχεγονωτέρᾳ ἐκείνης· μεμνήμεθα γάρ, ὅτι πρὸ βραχέος τοιαύτη ἡμῖν ἐφάνη συναναιροῦσα μὲν τὰς ἄλλας ἐπιστήμας ἑαυτῇ, οὐ συναναιρουμένη δὲ ἐκείναις, καὶ ἔμπαλιν συνεπιφερομένη μὲν ἐκείναις ἀναγκαίως, οὐ συνεπιφέρουσα δὲ αὐτὰς ἑαυτῇ.

Πρότερον δὲ ἐπιγνωστέον, ὅτι ἕκαστον γράμμα, 2
ᾧ σημειούμεθα ἀριθμόν, οἷον τὸ ι, ᾧ τὰ δέκα, τὸ κ, ᾧ τὰ εἴκοσι, τὸ ω, ᾧ τὰ ὀκτακόσια, νόμῳ καὶ συνθήματι ἀνθρωπίνῳ, ἀλλ' οὐ φύσει σημαντικόν ἐστι τοῦ ἀριθμοῦ, ἡ δὲ φυσικὴ καὶ ἀμέθοδος καὶ διὰ τοῦτο ἁπλουστάτη σημείωσις τῶν ἀριθμῶν εἴη ἂν ἡ τῶν μονάδων τῶν ἐν ἑκάστῳ οὐσῶν παράλληλος ἔκθεσις· οἷον μιᾶς μὲν μονάδος γραφὴ διὰ τοῦ ἑνὸς ἄλφα σημεῖον ἔσται τοῦ ἑνός, δυεῖν δὲ μονάδων παραλλήλων, τουτέστι δυεῖν ἄλφα ἔκθεσις σημεῖον ἔσται τῆς δυάδος, τριῶν δὲ ἐπ' εὐθείας ἀλλήλοις κειμένων τριάδος ἔσται χαρακτὴρ καὶ τεσσάρων ἐπ' εὐθὺ τεταγμένων τετράδος καὶ πέντε πεντάδος καὶ ἀεὶ οὕτως· διὰ γὰρ τῆς τοιαύτης γραφῆς καὶ σημάνσεως ἡ τῶν φρασθησομένων ἐπιπέδων τε καὶ

---

1. *κύβων H* — *τε*] *φημί* add. *C* — 2. *σκαλινῶν P* cf. Eucl. I, ὅρ. κϛ — 3. *σφηνίκων GP σφ. καὶ σφηκίσκων H* — 7. *ἀρχαιγονωτέρα S* — 11. *ἀναγκαίως* om. *C* — 14. *ᾧ τὰ εἴκ.* om. *P* — 17. *εἴη ἂν*] *ὀρθῶς* add. *SH* — 20. *ἄλφα*] *ἔκθεσις* add. *C* — 22. *ἀλλήλοις*] *παραλλήλοιν S*

στερεῶν σχηματογραφία τρανωθῆναι δύναιτ' ἂν μόνως καὶ σαφηνισθῆναι, οἷον

μονὰς μὲν α,
δυὰς δὲ αα,
τριὰς δὲ ααα,
τετρὰς δὲ αααα, P
πεντὰς δὲ ααααα, 45

3 καὶ εἰς πλείονα ἀεὶ ἀναλόγως. ἔσται οὖν ἡ μὲν μονὰς σημείου τόπον ἐπέχουσα καὶ τρόπον ἀρχὴ μὲν διαστημάτων καὶ ἀριθμῶν, οὔπω δὲ διάστημα οὐδὲ ἀριθμός, ὡς τὸ σημεῖον ἀρχὴ μὲν γραμμῆς καὶ διαστήματος, οὔπω δὲ γραμμὴ οὐδὲ διάστημα· ἀμέλει οὔτε σημείῳ σημεῖον συντεθὲν πλεῖόν τι ποιεῖ, ἀδιάστατον γὰρ ἀδιαστάτῳ συντεθὲν διάστημα οὐχ ἕξει, ὥςπερ εἴ τις τὸ οὐδὲν οὐδενὶ συντεθὲν σκέπτοιτο, οὐδὲν γὰρ ποιεῖ· κατὰ ταυτὰ γὰρ ἐφαίνετο καὶ ἐπὶ τῆς ἰσότητος ἡμῖν ἐν ταῖς σχέσεσι, σώζεται μὲν γὰρ ἀναλογία, ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον, οὕτως ὁ δεύτερος πρὸς τὸν τρίτον, οὐ μὴν διάστημα γεννᾶταί τι τοῖς ἄκροις πρὸς ἀλλήλους, ὥςπερ ἐπὶ τῶν ἄλλων τῶν χωρὶς ἰσότητος σχέσεων πασῶν· τὸν αὐτὸν δὴ τρόπον καὶ μονὰς ἐκ παντὸς μόνη τοῦ ἀριθμοῦ ἑαυτὴν πολλαπλασιάσασα οὐδὲν πλέον ἑαυτῆς γεννᾷ· ἀδιάστατος ἄρα ἡ μονὰς καὶ ἀρχοειδής, πρῶτον δὲ διάστημα εὑρίσκεται καὶ φαίνεται

---

8. καὶ εἰ πλείονα εἴη ἀναλ. C καὶ εἰ ἐπὶ πλέον εἴη ἀναλ. S καὶ ἐπὶ πλεῖον ἀεὶ ἀν. H — οὖν] ἡμῖν add. H — 9. τόπον . . . τρόπον] λόγον . . . τόπον S — 10. διαστήματα οὐδὲ P — 13. 14. πλεῖον . . . συντεθὲν om. P — 14. ἀδιαστάτῳ] ἤτοι ἀμερὲς ἀμερεῖ add. S — 15. σκέψοιτο P ἐπισκέπτοιτο H — 16. κατὰ ταυτὰ γὰρ] καὶ τ. γ. Ast τα αὐτὰ δὲ H — 19. οὕτως H sol. — 21. ἄλλων τῶν om. H — 23. πολυπλασιάσασα S πλεονάσασα C

ἐν δυάδι, εἶτ᾽ ἐν τριάδι, εἶτα ἐν τετράδι καὶ ἑξῆς ἐν
τοῖς ἀκολούθοις· διάστημα γάρ ἐστι δυεῖν ὅρων τὸ
μεταξὺ θεωρούμενον. πρῶτον δὲ διάστημα γραμμὴ 4
λέγεται, γραμμὴ γάρ ἐστι τὸ ἐφ᾽ ἓν διαστατόν· δύο
δὲ διαστήματα ἐπιφάνεια, ἐπιφάνεια γάρ ἐστι τὸ
διχῆ διαστατόν· τρία δὲ διαστήματα στερεόν, στε-
ρεὸν γάρ ἐστι τὸ τριχῆ διαστατὸν καὶ οὐκ ἔστιν
οὐδαμῶς ἐπινοεῖν στερεόν, ὃ πλεόνων τέτευχε δια-
στημάτων ἢ τριῶν, βάθους, πλάτους, μήκους· τού-
τοις γὰρ αἱ λεγόμεναι περὶ πᾶν σῶμα ὑπάρχειν ἓξ
περιστάσεις ὁρίζονται, καθ᾽ ἃς αἱ κατὰ τόπον κινή-
σεις διακρίνονται, πρόσω, ὀπίσω, ἄνω, κάτω, δεξιά,
ἀριστερά· ἑκάστῳ γὰρ διαστήματι δύο ἐξ ἀνάγκης
περιστάσεις παρέπονται ἀλλήλαις ἀντίθετοι, ἑνὶ μὲν
αἱ ἄνω καὶ κάτω, ἑτέρῳ δὲ αἱ πρόσω καὶ ὀπίσω, τῷ
τρίτῳ δὲ αἱ ἐπὶ δεξιὰ καὶ ἀριστερά. καὶ συμβαίνει 5
πως οὕτως ἀναστρέφειν τὸν λόγον· εἴ τι γὰρ στε-
ρεόν ἐστιν, ἐκεῖνο τὰς τρεῖς διαστάσεις πάντως ἔχει,
μῆκος, βάθος, πλάτος καὶ ἔμπαλιν, εἴ τι ἔχει τὰς
τρεῖς διαστάσεις, ἐκεῖνο πάντως στερεόν ἐστιν, ἄλλο
δ᾽ οὐδέν. οὐκ ἄρα τὸ δύο μόνον ἔχον διαστάσεις 6
ἔσται στερεόν, ἀλλ᾽ ἐπιφάνεια, αὕτη γὰρ διαστημά-
των ἐπιδεκτικὴ δυεῖν ἐστι μόνων· καὶ ἐπ᾽ αὐτῆς
P *δυνατὸν ὁμοιοτρόπως ἀντιστρέφειν τὸν λόγον, ἐπι-*
46 *φάνειά τε γὰρ ὀρθῶς τὸ διχῆ διαστατὸν καὶ πάλιν*

1. *ἐν δυάδι, εἶτ᾽* om. *P* — 2. *δύο H* — 3. *δὲ*] *γὰρ GP* — 4—6. *δύο . . . διαστατὸν* om. *C* — 7. 8. *καὶ οὔτι ἔστιν οὐδαμοῦ S* — 8. *στερεόν* om. *H* — 10. *αἱ λεγ.*] *ἐκλεγόμεναι P* — 15. *ἑτέρῳ*] *ἑκατέρῳ P* — 16. *αἱ* om. *GP* — *δεξιᾷ καὶ ἀριστερᾷ P* — 17. *ἀντιστρ. H* in mrg. — 19. *μῆκ., βάθ., πλ.* om. *H* — 21. *μόνον*] *μόνας H* — 22. *ἐστίν H* — 23. *δεκτική H* — 24. *ὁμοιοτρόπος G ὁμοίως S ἀναστρ. H* (in mrg. *ἀντιστρ.*) — 25. *ὀρθῶς*] *ὑγιῶς CH* — *ἔμπαλιν S*

7 τὸ διχῇ διαστατὸν πάντως ἐπιφάνεια ἔσται. ἑνὶ ἄρα διαστήματι ἠλάττωται ἐπιφάνεια στερεοῦ, ἑνὶ δὲ καὶ γραμμὴ ἐπιφανείας οὖσα τὸ ἐφ' ἓν διαστατὸν καὶ ἑνὸς μόνου τετευχυῖα διαστήματος, λειπομένη δὲ στερεοῦ δυσὶ διαστήμασι· ταύτης δ' αὐτῆς λείπεται ἑνὶ διαστήματι τὸ σημεῖον· διὰ τοῦτο προελέχθη εἶναι ἀδιάστατον στερεοῦ μὲν τρισὶ διαστήμασι λειπόμενον, ἐπιφανείας δὲ δυσί, γραμμῆς δὲ ἑνί.

VII ζ. Ἔστιν οὖν σημεῖον ἀρχὴ διαστήματος, οὐ διά-
στημα δέ, τὸ δ' αὐτὸ καὶ ἀρχὴ γραμμῆς, οὐ γραμμὴ
δέ· καὶ γραμμὴ ἀρχὴ ἐπιφανείας, οὐκ ἐπιφάνεια δέ,
καὶ ἀρχὴ τοῦ διχῇ διαστατοῦ, οὐ διχῇ δὲ διαστατόν.
2 καὶ εἰκότως ἡ ἐπιφάνεια ἀρχὴ μὲν σώματος, οὐ
σῶμα δέ, καὶ ἡ αὐτὴ ἀρχὴ μὲν τοῦ τριχῇ διαστατοῦ,
3 οὐ τριχῇ δὲ διαστατόν. οὕτως δὴ καὶ ἐν τοῖς ἀριθ-
μοῖς ἡ μὲν μονὰς ἀρχὴ παντὸς ἀριθμοῦ ἐφ' ἓν διά-
στημα κατὰ μονάδα προβιβαζομένου, ὁ δὲ γραμμικὸς
ἀριθμὸς ἀρχὴ ἐπιπέδου ἀριθμοῦ ἐφ' ἕτερον διά-
στημα ἐπιπέδως πλατυνομένου, ὁ δὲ ἐπίπεδος ἀριθ-
μὸς ἀρχὴ στερεοῦ ἀριθμοῦ ἐπὶ τρίτον διάστημα
πρὸς τὰ ἐξ ἀρχῆς βάθος τι προσκτωμένου· οἷον καθ'
ὑποδιαίρεσιν γραμμικοὶ μέν εἰσιν ἀριθμοὶ ἁπλῶς
ἅπαντες οἱ ἀπὸ δυάδος ἀρχόμενοι καὶ κατὰ μονάδος
πρόσθεσιν ἐπὶ ἓν καὶ τὸ αὐτὸ προχωροῦντες διά-
στημα, ἐπίπεδοι δὲ οἱ ἀπὸ τριάδος ἀρχόμενοι ἀρχι-

VII. Io. Phil. rec. I, κϑ, λ; rec. II, κβ, κγ. — Iambl. p. 80—82. — Io. Pedias. in Iahnii nou. ann. XCII, p. 371. 372. — Boëth. II. 5. 6.


1. ἔσται om. *PH* — 2. ἐλαττοῦται *H* — 5. αὐτῆς] τῆς γραμμῆς *H* — 7. λειπομένον *G* λειπουμένον *P*
VII. 11. καὶ γρ.] γραμμὴ om. *G*, ἡ δὲ γρ. *SH* — 14. ἡ αὐτὸ *G* — 17. προβιβαζομένη *H* — 20. ἐπιτρίτον *P* — 21. πρὸς] παρὰ *H* — βάθη *GP*

κωτάτης ῥίζης καὶ διὰ τῶν ἑξῆς συνεχῶν ἀριθμῶν
προιόντες, λαμβάνοντες καὶ τὴν ἐπωνυμίαν κατὰ
τὴν αὐτὴν τάξιν· πρώτιστοι γὰρ τρίγωνοι, εἶτα μετ'
αὐτοὺς τετράγωνοι, εἶτα μετ' αὐτοὺς πεντάγωνοι,
εἶτα ἐπὶ τούτοις ἑξάγωνοι καὶ ἑπτάγωνοι καὶ ἐπ'
ἄπειρον· προςαγορεύονται δέ, ὡς ἔφαμεν, ἀπὸ τῶν
ἀπὸ τριάδος ἐφεξῆς κειμένων ἀριθμῶν. ἀρχικώτα- 4
τον ἄρα σχῆμα ἐπιπέδων καὶ στοιχειωδέστατον τὸ
τρίγωνον εὑρίσκεται· καὶ γὰρ ἐν τοῖς γραμμικοῖς
ἐπιπέδοις ἐὰν ἀπὸ τῶν γωνιῶν ἐπὶ τὰ μέσα εὐθεῖαι
ἀχθῶσι, λυθήσεται ἕκαστον εὐθύγραμμον σχῆμα
πάντως εἰς τρίγωνα τοσαῦτα, ὅσαιπερ ἂν αὐτοῦ
τυγχάνωσιν αἱ πλευραί, αὐτὸ δὲ τὸ τρίγωνον τὸ
αὐτὸ τοῖς ἄλλοις παθὸν εἰς ἕτερόν τι οὐ μεταπεσεῖ-
ται, ἀλλ' εἰς ἑαυτό· στοιχεῖον ἄρα καὶ ἐν ἐκείνοις τὸ
p τρίγωνον· εἰς αὐτὸ γὰρ τὰ ἄλλα πάντα ἀναλύεται
47 ἀναγκαίως, αὐτὸ δὲ οὐκ εἰς ἕτερον· ἐκ τούτου ἂν
καὶ συσταίη τὰ λοιπά, αὐτὸ δὲ ἐξ οὐδενός· στοι-
χεῖον ἄρα τοῦτο τῶν ἄλλων, αὐτοῦ δὲ οὐδέν. κἂν 5
τοῖς ἀριθμητικοῖς δὲ ἐπιπέδοις προιὼν ὁ λόγος βε-
βαιώσει τὸ λεγόμενον.

η. Τρίγωνος μὲν οὖν ἐστιν ἀριθμὸς ὁ διαλυό- VIII

VIII. Io. Phil. rec. I, λα, λβ; rec. II, κδ. — Iambl. p. 82. 83. — Theon. 18. 19. 23. — Io. Pedias. I. 1. — Boëth. II. 6.

3—5. hasce addunt codices figuras:



8. ἐπιπέδων om. *H* — 9. γὰρ om. *G* — 9. 10. ἐπὶ τῶν γραμμικῶν ἐπιπέδων *S* cf. Eucl. I, ὅρ. κ. — 11. ἕκαστος *G* — 12. τοσαῦτα] τῷ ἀριθμῷ, ὁπόσα add. *S* — 14. ἕτερον ἄλλο *S* — 16. εἰς ὃ *CSH* — λύεται *SH* — 17. εἰς ἄλλο *SH*
VIII. Περὶ τριγώνου *HΓ*

μενος εἰς μονάδας καὶ τὴν κατ' ἐπίπεδον θέσιν τῶν
μορίων ἰσόπλευρον σχηματογραφῶν εἰς τριγωνισμόν,
οὗ ὑποδείγματα ὁ

γ, ς, ι, ιε, κα, κη


καὶ οἱ ἐφεξῆς· σχηματογραφίαι γὰρ αὐτῶν εὔτακτοι
ἔσονται τρίγωνοί τε ἅμα καὶ ἰσόπλευροι, καὶ τὸ
τοιοῦτον, μέχρις οὗ βούλει, προκόπτων τριγωνιζό-
μενον εὑρήσεις πρὸ πάντων στοιχειωδέστατον τάτ-
των τὸ ἐκ μονάδος γινόμενον, ἵνα καὶ τρίγωνος δυ-
νάμει φαίνηται ἡ μονάς, ἐνεργείᾳ δὲ πρῶτος ὁ γ.
2 πλευραὶ δὲ παραυξηθήσονται τῷ συνεχεῖ ἀριθμῷ,
τοῦ μὲν γὰρ δυνάμει πρώτου πλευρὰ μονάς, τοῦ δὲ
ἐνεργείᾳ πρώτου πλευρὰ δυάς, τουτέστι τοῦ γ, τοῦ
δὲ ἐνεργείᾳ δευτέρου πλευρὰ τριάς, τουτέστι τοῦ ς,
τοῦ δὲ τρίτου πλευρὰ τετρὰς καὶ τοῦ τετάρτου
3 πεντὰς καὶ τοῦ πέμπτου ἑξὰς καὶ ἀεὶ οὕτως. γεν-
νᾶται δὲ τοῦ φυσικοῦ ἀριθμοῦ στοιχηδὸν ἐκτεθέντος
καὶ ἀεὶ ἀπ' ἀρχῆς τῶν συνεχῶν κατὰ ἕνα συντιθε-
μένων, κατὰ γὰρ ἑκάστην σύνθεσιν καὶ προσσώρευ-
σιν οἱ εὔτακτοι τρίγωνοι συντελοῦνται· οἷον ἐκ μὲν
τοῦ φυσικοῦ στίχου τούτου

α, β, γ, δ, ε, ς, ζ, η, θ, ι, ια, ιβ, ιγ, ιδ, ιε


τὸν μὲν πρώτιστον λαβὼν ἔχω τὸν δυνάμει πρῶτον

2. μορίων] μονάδων *CS* — ἰσοπλεύρως *C* — 3. 4. οὗ . . . γ] ὑπόδειγμα γ *S* — 5. 6. εὔτακτοι ἔσονται] ἔσ. τοιαῦται *SH* — 6. 7. τὸ τοιοῦτον om *H* — 7. προκόπτον *C* — 9. γινόμενον] συγκείμενον *H* — δυνάμει] μονάδι *G* — 11. συνεχῆ *G* ἀπὸ [ὑπὸ *H*] τοῦ συνεχοῦς ἀριθμοῦ *SH* δὲ G_2 — 12. πρῶτον G_1 — 12. 13. τοῦτο ἐνεργ. G_1 — 14. πλευρὰ om. *H* — τριάς post ς *GP* — 15. τρίτου] τοῦ δέκα add. *CSH* — 17. φυσικὸν *G* — στιχηδόν *PC* — 19. ἑκάστου *SH* — 20. εὔτακτοι] σύνθετοι add. *S* — 21. τούτου om. *CSH* — 22. ια . . . ιε om. *H* — ιε] ὁ α, γ, ς, ι, ιε, κα, κη, λς, με, νε, ξς, οη, ϡα, ρε, ρκ add. *C* — 23. ἔχων *PH*

τρίγωνον, τὴν μονάδα [1], εἶτα τὸν συνεχῆ αὐτῷ ἐπισωρεύσας ἔχω τὸν ἐνεργείᾳ πρῶτον τρίγωνον, β γὰρ καὶ α ὁ γ ἐστί, καὶ τῇ γε σχηματογραφίᾳ οὕτως συνίσταται· ἐπὶ μιᾷ μονάδι δύο μονάδες παράλληλοι ὑποτίθενται καὶ τριγωνίζεται ὁ γ ἀριθμός [2]· εἶτα ἑξῆς ἐπὶ τούτοις ὁ γ συνεχὴς προσσωρευθεὶς καὶ ἐξαπλωθείς γε εἰς μονάδα καὶ συντεθεὶς τὸν ς ἀποδίδωσι δεύτερον ἐνεργείᾳ τρίγωνον καὶ προσέτι σχηματογραφεῖ [3]· καὶ πάλιν ὁ φύσει ἀκόλουθος ὁ δ ἐπὶ τούτοις σωρευθεὶς καὶ μοναδιστὶ ὑπογραφεὶς τὸν εὔτακτον μετὰ τοὺς εἰρημένους ἀποδίδωσι τὸν ι καὶ τριγωνιστί γε σχηματίζεται [4]· καὶ ὁ ε ἐπὶ τούτῳ, εἶτα ὁ ς, εἶτα ὁ ζ καὶ οἱ ἑξῆς ἅπαντες, ὥστ' ἐμμελῶς καὶ τὰς πλευρὰς ἑκάστου τοσούτων εἶναι P 48 μονάδων, ὁπόσοιπερ ἀριθμοὶ συνετέθησαν ἐκ τοῦ φυσικοῦ στίχου εἰς τὴν αὐτοῦ σύστασιν [5 6 7]·



4. μιᾷ μ.] τῇ μ. S — 6. συνεχός G_1 om. H — 7. μονάδας H — ς] στίχον P — 9. σχηματογράφει GP — 12. σχηματίζει CS — 13. εἶτα ὁ ζ om. H — καὶ οἱ λοιποὶ πάντες ἐφεξῆς H — 14. ἐμελῶς G — 15. ὁπόσοιπερ] ἂν καὶ add. SH — 16. στίχου] χύματος H — εἰς] πρὸς S — ἑαυ-



IX ϑ. Τετράγωνος δέ ἐστιν ἀριϑμὸς ὁ συνεχὴς τούτῳ καὶ μηκέτι τρεῖς, ὡς ὁ πρόσϑεν, ἀλλὰ τέσσαρας ἐν τῇ καταγραφῇ γωνίας ἀποδιδούς, ἐν ἰσοπλεύρῳ μέντοι καὶ αὐτὸς σχηματισμῷ, οἷον

α, δ, ϑ, ις, κε, λς, μϑ, ξδ, πα, ρ·

τούτων γὰρ αἱ καταγραφαὶ ἰσόπλευροι τετραγωνισμοὶ οὕτω πως γίνονται·

α

α	α
α	α

α	α	α
α	α	α
α	α	α

α	α	α	α
α	α	α	α
α	α	α	α
α	α	α	α

α	α	α	α	α
α	α	α	α	α
α	α	α	α	α
α	α	α	α	α
α	α	α	α	α

IX. Io. Phil. rec. I, λγ, λδ; rec. II, κε. — Iambl. p. 83—85. — Theon. 11. 15. 19—21 25. 28. — Boëth. II. 7.

τοῦ *GP* — figuras non habent *PH*; *G* hoc addit schema, quod nos margini adposuimus, (simile *Γ*):

IX. Περὶ τετραγώνου *H* -ων *Γ* — 1. Τρίγωνος *P* — 3. καὶ om. *SH*, del. *C* — ὡς πρόσϑ. *H* — 7. αὐτῷ *G* — 10. τούτοις *S* — καταγαφαὶ *G* — figuras om. *GP*

καὶ ἐφεξῆς οὕτως, μέχρις οὗ βούλει. καὶ τούτοις δὲ 2 συμβέβηκεν, ὥςπερ καὶ τοῖς πρὸ αὐτῶν, τὴν τῶν πλευρῶν πρόβασιν κατὰ τὸν φυσικὸν ἀριθμὸν προκόπτειν· τῷ μὲν γὰρ δυνάμει πρώτῳ τῷ ἑνὶ πλευρὰ μονάς, τῷ δὲ ἐνεργείᾳ πρώτῳ τῷ δ πλευρὰ δυάς, τῷ δὲ ἐνεργείᾳ δευτέρῳ τῷ ϑ πλευρὰ τριάς, τῷ δὲ μετ' αὐτὸν ἐνεργείᾳ τρίτῳ τῷ ις πλευρὰ τετρὰς καὶ τῷ τετάρτῳ πεντὰς καὶ τῷ πέμπτῳ ἑξὰς καὶ καθόλου ἑξῆς τοῖς ἐφεξῆς. γεννᾶται δὲ καὶ οὗτος στοι- 3 χηδὸν ἐκτεθέντος φυσικοῦ ἀριθμοῦ τῇ μονάδι ἐπισωρευθέντων οὐκέτι τῶν ἐφεξῆς τοῖς ἐφεξῆς, ὡς δέδεικται, ἀλλὰ τῶν παρ' ἕνα κειμένων πάντων, τουτέστι τῶν περισσῶν· πρῶτος γὰρ ὁ α δυνάμει πρῶτος τετράγωνος, δεύτερος ὁ α καὶ γ ἐνεργείᾳ πρῶτος τετράγωνος, τρίτος δὲ ὁ α καὶ γ καὶ ε ἐνεργείᾳ δεύτερος τετράγωνος, τέταρτος δὲ ὁ α καὶ γ καὶ ε καὶ ζ ἐνεργείᾳ τρίτος τετράγωνος καὶ ὁ ἑξῆς τοῖς προτέροις προςσωρευθέντος τοῦ ϑ γίνεται καὶ ὁ μετ' αὐτόν τοῦ ια προςτεθέντος καὶ οὕτως ἀεί. καὶ 4 ἐπὶ τούτων δὲ συμβέβηκε τοσούτων μονάδων τὴν ἑκάστου πλευρὰν εἶναι, ὁπόσοιπερ ἂν ὦσιν οἱ εἰς τὴν αὐτοῦ γένεσιν ἐπισωρευθέντες ἀριθμοί.

1. οὕτως om. *H* — μεχ. ὅσου *H* — 3. 4. κόπτειν *P* — 4. πρώτῳ] μόνῳ *C* — 6—8. τῷ δὲ μετ' . . . ἑξὰς] καὶ τῷ τετάρτῳ τετρὰς καὶ τῷ πέμπτῳ πεντὰς καὶ τῷ ς ἑξάς *S* — 9. αἱ ἐφεξῆς τοῖς ἐφ. *C* οἱ ἐφεξῆς τοῖς ἑξῆς *S* οἱ ἐφεξῆς *H* — οὗτος] ἀπὸ τοῦ add. *CSH* — στιχηδὸν *C* — 10. ἐπισωρευθέντος *P* ἐπισωρευομένων *CH* — 12. δέδεικται] ἐπὶ τῶν τριγώνων add. *S* — 14. α] πρῶτος *G* — 17. ὁ ante ἑξῆς om. *GP* — προτέροις] πρώτως *P* πρότε^{ο}ρον *C*, om. *H* — 17. προςσωρευθέντα *G* — 22. συσσωρευθέντες *SH* — schema, quod *GΓ* adponunt, hoc est:

β δ ς η ι ιβ ιδ ις ιη κ

ἀριθμοὶ περιττοί·	α	γ	ε	ζ	ϑ	ια	ιγ	ιε	ιζ	ιϑ
τετράγωνοι·	α	δ	ϑ	ις	κε	λς	μϑ	ξδ	πα	ρ

X ι. Πεντάγωνος δέ ἐστιν ἀριθμὸς ὁ καὶ αὐτὸς κατὰ τὴν ἐξάπλωσιν τὴν εἰς μονάδα σχηματογραφούμενος ἐπιπέδως εἰς πενταγωνικὸν σχῆμα πάντη ἰσόπλευρον, οἷον

α, ε, ιβ, κβ, λε, να, ο

2 καὶ οἱ ἀνάλογοι. ἀλλ' ἔστι τοῦ μὲν πρώτου κατ' ἐνέργειαν, τουτέστι τοῦ ε ἑκάστη πλευρὰ δυάς, μονὰς μὲν γὰρ τοῦ δυνάμει πρωτίστου πενταγώνου ὑπάρχει τοῦ ἑνός, τοῦ δὲ τῶν ἐκκειμένων δευτέρου τοῦ ιβ πλευρὰ τριὰς καὶ τοῦ μετ' αὐτὸν τοῦ κβ τετρὰς καὶ τοῦ ἑξῆς τοῦ λε πεντὰς καὶ ἑξὰς τοῦ ἐπὶ τούτῳ τοῦ να καὶ ἀεὶ οὕτως· καθόλου γὰρ τοσούτων μονάδων ἡ πλευρά ἐστιν, ὅσοιπερ εἰς τὴν αὐτοῦ σύστασιν συνεσωρεύθησαν ἀριθμοὶ ἐκλεγέντες ἐκ τοῦ κατὰ φύσιν στοιχηδὸν ἐκκειμένου ἀριθ- P 49
μητικοῦ χύματος· παραπλησίως γὰρ καὶ ὁμοιοτρόπως ἐπισωρεύονται ἀλλήλοις εἰς πενταγώνου γένεσιν οἱ ἀπὸ μονάδος δύο διαλείποντες ἐφ' ὁσονοῦν, τουτέστιν οἱ τριάδι ἀλλήλων ὑπερέχοντες· ἡ μὲν μονὰς δυνάμει πρῶτος καὶ σχηματογραφεῖται οὕτως [1], ὁ δὲ ε δεύτερος ἐκ τοῦ α καὶ δ συντεθέντων σχηματογραφούμενος καὶ αὐτὸς οὕτως [2], ὁ δὲ ιβ ὁ τρίτος

X. Io. Phil. rec. I, λε—λζ; rec. II, κς, κζ. — Iambl. p. 85. — Theon. 26. — Boëth. II. 8.

X. *Περὶ πενταγώνου H -ων Γ* — 2. *μονάδας PC secundum unitatem* Boëth. II. 8. — *σχηματογραφόμενος P* — 6. *ἀνάλογον CSH* — 7. *τουτέστι] ἤγουν H* — *ἑκάστου P*, om. *H* — 9. *ἑνός] πρώτου S* — 12. 13. *καθ. γὰρ καὶ ἐπὶ τούτων τοσ. H* — 13. *ἑκάστου SH* — *ἔσται H* — 14. *ἐκλέγοντος P* — 15. *στιχηδόν PC* — 21. *ἐκ τοῦ πρώτου καὶ τετάρτου G* — 21. 22. *σχηματογραφούμ. . . . οὕτως* om. *H* — 22. *ὁ δὲ ιβ ὁ* om. *H*

ἔκ τε τῶν δύο προτέρων καὶ τοῦ ζ ἐπισωρευθέντος αὐτοῖς, ἵνα καὶ αὐτὸς τριάδα πλευρὰν σχῇ, ὡς τριῶν συντεθέντων εἰς τὴν αὐτοῦ σύστασιν, ὡς καὶ ὁ πρὸ αὐτοῦ ὁ ε δυάδα πλευρὰν εἶχεν ἐκ δύο συντεθείς, ἡ δὲ σχηματογραφία αὐτοῦ τοιαύτη ἐστίν· [3]


[1]




[2]



[3]





οἱ δὲ ἐπὶ τούτοις γενήσονται καθεξῆς προςσωρευομένων 3 τῶν κατὰ τριάδος ὑπεροχὴν εὐτάκτων μετὰ τὴν ἑβδομάδα ὄντων, οἷον τοῦ

ι, ιγ, ιϛ, ιθ, κβ, κε

καὶ ἐπ' ἄπειρον· ἔσονται γὰρ

κβ, λε, να, ο, ϟβ, ριζ

καὶ τοῦτο μέχρι παντός.

---

2. ἔχῃ *SH* — 5. δυάδι *H* — 10. τούτω *H* — 14. ὄντων] οὕτως *G* — οἷον τοῦ om. *H* — in codice *G* (*Γ*) haec adposita sunt: ὅρα, πῶς ἐκ τοῦ φυσικοῦ χύματος ἀποτελοῦνται οἱ πεντάγωνοι (u. mrg.)·

XI ια. Ἑξάγωνοι δὲ καὶ ἑπτάγωνοι καὶ οἱ ἑξῆς κατὰ τὴν αὐτὴν ἔφοδον προβιβασθήσονται ἀπὸ τοῦ φυσικοῦ χύματος τοῦ ἀριθμοῦ στοιχηδὸν ἐκτεθέντος αἰεὶ κατὰ μονάδος πρόςθεσιν τῶν ἀποστάσεων γινομένων· ὡς γὰρ ὁ μὲν τρίγωνος τοὺς μονάδι διαφέροντας, μηδὲν παραλείποντας εἰς τὴν σωρείαν δεχόμενος ἀπετελεῖτο, ὁ δὲ τετράγωνος τοὺς δυάδι μὲν διαφέροντας, ἕνα δὲ παραλείποντας, πεντάγωνος δὲ ἀκολούθως τοὺς τριάδι μὲν διαφέροντας, δύο δὲ παραλείποντας, οὓς καὶ ἀπεδείξαμεν ὑποδείγματα αὐτῶν τε καὶ τῶν ἀποτελουμένων ἐκθέμενοι ἐξ αὐτῶν, οὕτως καὶ ἑξάγωνοι γνώμονας ἕξουσι τοὺς τετράδι μὲν διαφέροντας, τρεῖς δὲ παραλείποντας, ἐξ ὧν συντεθέντων σωρηδὸν ἀποτελοῦνται, οἷον


α, ε, ϑ, ιγ, ιζ, κα

καὶ ἐφεξῆς, ἵνα οἱ ἀποτελούμενοι ἑξάγωνοι ὦσιν

α, ϛ, ιε, κη, με, ξϛ

2 καὶ ἀεί, μέχρις ἂν τις θέλῃ. οἱ δὲ τούτοις ἀκόλουθοι ἑπτάγωνοι τοὺς μὲν γνώμονας ἔχουσι πεντάδι μὲν διαφέροντας, τετράδι δὲ διαλείποντας, οἷον

α, ϛ, ια, ιϛ, κα, κϛ, λα, λϛ



καὶ ἐφ' ὁσονοῦν, αὐτοὶ δὲ οἱ συνιστάμενοί εἰσιν

XI. Io. Phil. rec. I, λη—μα; rec. II, κη, κϑ. — Iambl. p. 85. 86. — Theon. 27. — Boëth. II. 9.

XI. 1. καϑεξῆς H — 2. αὐτῶν G — 3. τοῦ ἀρ. . . . ἐκτεϑ. om. PC — στιχηδὸν H — 10. ὑπεδείξαμεν CH — 11. ϑέμενοι H — 14. οἷον] τοὺς add. P — 18. ἂν] οὐ HS — ϑέλοι P ϑέλει SH — G hanc adscribit figuram (u. marg.): — οἱ] εἰ G — 19. ἕξουσι C Io. Phil. rec. I, μ


α, ζ, ιη, λδ, νε, πα, ϱιβ, ϱμη

καὶ τοῦτο μέχϱι παντός. ὀκτάγωνοι δὲ κατὰ τὴν 3
p αὐτὴν τάξιν τοῖς τε γνώμοσιν ἑξάδι διαφέϱοντες
50 πϱοκόπτουσι καὶ τοῖς συστήμασιν ἀναλόγως. ἵνα δὲ 4
ἐπὶ πάντων παϱατηϱοῦντι τοῦτο καθολικὸν σύμφωνον ᾖ, ἑκάστου πολυγώνου τοὺς γνώμονας διαφέϱειν ἀλλήλων δυάδι ἐλαττόνως, ἢ κατὰ τὴν ἐν τῷ ὀνόματι ποσότητα τῶν γωνιῶν, τουτέστι μονάδι μὲν τὸν τϱίγωνον, δυάδι δὲ τὸν τετϱάγωνον, τϱιάδι δὲ τὸν πεντάγωνον, τετϱάδι δὲ τὸν ἑξάγωνον καὶ πεντάδι τὸν ἑπτάγωνον καὶ ἀεὶ κατὰ παϱαύξησιν οὕτως.

ιβ. Καὶ πεϱὶ μὲν τῆς τῶν πολυγώνων φύσεως XII
τῶν ἐπιπέδων ἱκανὰ ταῦτα ὡς ἐν πϱώτῃ εἰσαγωγῇ· ὅτι δὲ συμφωνοτάτη διδασκαλία ἡ πεϱὶ αὐτῶν τῇ γϱαμμικῇ καὶ οὐκ ἀπᾴδουσα, δῆλον ἂν εἴη οὐ μόνον

XII. Io. Phil. rec. I, μβ—μδ; rec. II, λ—λγ. — Iambl. p. 86—101. — Boëth. II. 10. 11.

1. ϱιβ, ϱμη om. *H* — 2. ὀκταγώνιοι *H* — haec schemata adponit *G*:



5. τὸ αὐτὸ *SH*

XII. 15. συμφωνότατος *H* — παϱ' αὐτῶν *C*

ἐκ τῆς σχηματογραφίας τῆς καθ' ἕκαστον, ἀλλὰ κἀκεῖθεν· πᾶν τετράγωνον σχῆμα διαγωνίως διαιρεθὲν εἰς δύο τρίγωνα λύεται καὶ πᾶς τετράγωνος ἀριθμὸς εἰς δύο τριγώνους συνεχεῖς λύεται καὶ ἐξ ἄρα δύο τριγώνων συνεχῶν συνέστηκεν· οἷον τρίγωνοι μέν εἰσιν

α, γ, ς, ι, ιε, κα, κη, λς, με, νε


καὶ οἱ ἑξῆς, τετράγωνοι δὲ

α, δ, ϑ, ις, κε, λς, μϑ, ξδ, πα, ρ.

2 δύο δή, οὓς ἂν ϑέλῃς, τριγώνους συνεχεῖς ἀλλήλοις συνϑεὶς πάντως τετράγωνον ποιήσεις καὶ ὁντινοῦν τετράγωνον ἄρα διαλύσας δυνήσῃ δύο ἀπ' αὐτῶν τριγώνους ποιῆσαι· καὶ πάλιν παντὶ τετραγώνῳ σχήματι τρίγωνον προςζευχϑὲν ὁϑενοῦν πεντάγωνον ποιεῖ, οἷον τῷ δ τετραγώνῳ ὁ α τρίγωνος προςζευχϑεὶς τὸν ε πεντάγωνον ποιεῖ καὶ τῷ ϑ τῷ ἑξῆς ὁ ἑξῆς προστεϑείς, δηλονότι ὁ γ, πεντάγωνον τὸν ιβ ποιεῖ, τῷ δὲ ις ὄντι ἀκολούϑῳ ὁ ς ἀκόλουϑος ἐπισυντεϑεὶς τὸν κβ ἀκόλουϑον ἀποδίδωσιν καὶ τῷ κε

---

3. hocce schema codicis *G*:



— 5. συνέστη *H* — 7. με, νε om. *H* — 9. πα, ρ om. *H* — 10. ἐϑέλοις *C* — 12. αὐτοῦ *S* — 14. τρίγωνον σχῆμα εν G_2 συζευχϑέν *H* — πρωτάγωνον G_1 — 15. δ] τετάρτῳ *G* — προςζευχϑεὶς] προςτεϑεὶς *S* συντεϑεὶς *H* — 16. ε om. *P* — 16. 17. ὁ ἑξῆς om. *P* τῷ ἑξ. τῷ ϑ ὁ ἑξ. τρίτος προςτεϑεὶς τὸν ἑξῆς πενταγ. ιβ *S* τῷ ἑξῆς τρίγωνος ὁ γ τὸν ἑξῆς τὸν ιβ πεντάγ. *H* — 18. ἀκολούϑως *H*

ὁ ι τὸν λε καὶ ἀεὶ οὕτως. κατὰ δὲ τὰ αὐτὰ κἂν 3
τοῖς πενταγώνοις οἱ τρίγωνοι προςτιθοῖντο τῇ αὐτῇ τάξει, τοὺς εὐτάκτους γεννήσουσιν ἑξαγώνους καὶ πάλιν ἐκείνοις οἱ αὐτοὶ προςπλεκόμενοι τοὺς ἐν τάξει ἑπταγώνους ποιήσουσι καὶ μετ' ἐκείνους τοὺς ὀκταγώνους καὶ τοῦτο ἐπ' ἄπειρον. πρὸς δὲ ὑπό- 4
μνησιν ἐκκείσθωσαν ἡμῖν πολυγώνων στίχοι παραλλήλως γεγραμμένοι οἵδε, ὁ πρῶτος τριγώνων, ὁ μετ' αὐτὸν τετραγώνων, μετὰ δὲ ἀμφοτέρους πενταγώνων, εἶτα ἑξαγώνων, εἶτα ἑπταγώνων, εἶτα, εἰ ἐθέλοι τις, καὶ τῶν ἑξῆς πολυγώνων·

μῆκος καὶ πλάτος

τρίγωνοι	α	γ	ϛ	ι	ιε	κα	κη	λϛ	με	νε	βάθος
τετράγωνοι	α	δ	θ	ιϛ	κε	λϛ	μθ	ξδ	πα	ρ	
πεντάγωνοι	α	ε	ιβ	κβ	λε	να	ο	ϟβ	ριζ	ρμε	
ἑξάγωνοι	α	ϛ	ιε	κη	με	ξϛ	ϟα	ρκ	ρνγ	ρϟ	
ἑπτάγωνοι	α	ζ	ιη	λδ	νε	πα	ριβ	ρμη	ρπθ	σλε	

P *ἔξεστι δὲ καὶ τῶν ἐφεξῆς πολυγώνων τὴν ἔκθεσιν ἐν*
51 *παραλλήλοις οὕτω στίχοις ποιήσασθαι. καθολικῶς* 5
γὰρ εὑρήσεις τοὺς μὲν τετραγώνους τῶν ὑπὲρ αὐτοὺς σύστημα ὄντας ὁμοταγῶν τριγώνων καὶ ἔτι τῶν ὑπερκειμένων ἐκείνοις ὁμογενῶν, οἷον

ον
1. τὰ αὐτὰ] ταῦτα *S* — 2. εἰ τρίγων προςτεθοῖντο *S* εἰ τρίγ. προςτίθενται *H* — 3. 4. καὶ πάλιν μετ' *H* — 6. ὀκταγών. om. *H* — τοῦτο] οὕτως *H* — 7. ἐκκείσθω *S* — παράλληλοι *H* — 8. οἵδε om. *CH* — 8. 9. ὁ μετ' αὐτὸν] ὁ δεύτερος *H* — 9. ἀμφότερα *G* — 10. εἶτα ἑξῆς ἑξαγ. *H* — 11. θέλει *SH* — 13—17. schema om. *PH* — 18 ἔξεστι . . . πολυγ. om. *H* ἔξεστι γὰρ καὶ τὴν τούτων ἔκθεσιν *C* — ἐν om. *H* — 19. οὕτω om. *C* — στίχοις] ὥςπερ τῶν πρὸ αὐτῶν add. *SC* — ποιεῖσθαι *H* — 20. 21. αὐτοὺς] κειμένων add. *S* — 22. ὑπερκειμ.] ὑπὲρ ἐκείνους κειμένων *H*

τὸν δ τοῦ γ καὶ α,
τὸν ϑ τοῦ ϛ καὶ γ,
τὸν ιϛ τοῦ ι καὶ ϛ,
τὸν κε τοῦ ιε καὶ ι,
τὸν δὲ λϛ τοῦ κα καὶ ιε

καὶ μέχρις ἀεὶ οὕτως· τοὺς δὲ πενταγώνους τῶν ὑπὲρ αὐτοὺς ὁμοταγῶν τετραγώνων σύστημα ὄντας καὶ προςέτι τῶν πρωτογενῶν τριγώνων, ὅσοι εἰσὶ μονάδι ἔλαττον ὁμοταγεῖς, οἷον

ὁ μὲν ε τοῦ δ καὶ α,
ὁ δὲ ιβ τοῦ ϑ καὶ γ,
ὁ δὲ κβ τοῦ ιϛ καὶ ϛ,
ὁ δὲ λε τοῦ κε καὶ ι

6 καὶ ἀεὶ οὕτως. πάλιν δὲ οἱ ἑξάγωνοι τῶν ὑπὲρ αὐτοὺς ὁμοταγῶν πενταγώνων καὶ τῶν προεκτεϑέντων τριγώνων ὁμοίως, οἷον·

ὁ ϛ τοῦ ε καὶ α,
ὁ ιε τοῦ ιβ καὶ γ,
ὁ δὲ κη τοῦ κβ καὶ ϛ,
ὁ δὲ με τοῦ λε καὶ ι

7 καὶ μέχρις οὗ βούλει. τῶν δὲ ἑπταγώνων ὁ αὐτὸς τρόπος·

ὁ μὲν γὰρ ζ σύστημα τοῦ ϛ καὶ α,
ὁ δὲ ιη τοῦ ιε καὶ γ,
ὁ δὲ λδ τοῦ κη καὶ ϛ

καὶ οἱ ἑξῆς ἀκολούϑως, ἵνα ἕκαστος πολύγωνος σύστημα ᾖ τοῦ τε ὑπὲρ αὐτὸν ὁμοταγοῦς μονάδι ἐλάτ-

---

1. α] τοῦ α codd. — 3. ϛ] τοῦ ϛ codd. — 5. τὸν δὲ λϛ ... ιε om. *H* — 6. μέχρις om. *H* — κἂν τοῖς πενταγώνοις εὕροις *S* — 8. πρωτογώνων *S* — 9. ἐλάττονες *SH* — 14. ἀεὶ οὕτως] μέχρις οὗ βούλει *P* — 15. πενταγώνων om. *SH* — προεκϑέντων *P* — 16. οἷον om. *SH* — 27. αὐτῷ (ὸ) *G*

τονος ὁμογωνίου καὶ τοῦ ἀνωτάτου τριγώνου τοῦ [μονάδι ἐλάττονος] ὁμοταγοῦς παρ' ἓν κειμένου. εἰκότως ἄρα στοιχεῖον πολυγώνων τὸ τρίγωνον καὶ 8
ἐν γραμμαῖς καὶ ἐν ἀριθμοῖς· καὶ γὰρ καὶ κατὰ βάθος καὶ κατὰ πλάτος ἐν τῷ διαγράμματι εὑρίσκονται οἱ συνεχεῖς αἰεὶ ἀριθμοὶ κατὰ τοὺς στίχους αὐτοὺς ἔχοντες διαφορὰς τοὺς εὐτάκτους τριγώνους.

ιγ. Ἐντεῦθεν ἤδη ῥᾴδιον συνιδεῖν, τίς τε ὁ XIII
στερεὸς ἀριθμὸς καὶ πῶς ἰσοπλεύρως ὁ τοιοῦτος προκόπτει· ὁ γὰρ πρὸς τοῖς δυσὶ διαστήμασι τοῖς ἐν τῇ ἐπιπέδῳ σχηματογραφίᾳ θεωρουμένοις ἐπὶ μῆκος καὶ ἐπὶ πλάτος τρίτον διάστημα προςειληφώς, ὅ τινες μὲν βάθος, τινὲς δὲ πάχος καλοῦσιν, ἔνιοι δὲ ὕψος, ἐκεῖνος ἂν εἴη στερεὸς ἀριθμὸς ὁ τριχῇ διαστατὸς καὶ ἔχων ἐν ἑαυτῷ μῆκος, βάθος, πλάτος.

Πρώτιστα δὲ οὗτος φαντάζεται ἐν ταῖς λεγομέ- 2
ναις πυραμίσιν. αὗται δὲ γίνονται ἐκ πλατυτέρων βάσεων μειουριζόμεναι εἰς ὀξεῖαν κορυφήν, πρῶτον μὲν κατὰ τριγωνισμὸν ἀπὸ τριγώνου βάσεως, δεύτερον δὲ κατὰ τετραγωνισμὸν ἀπὸ τετραγώνου βάσεως, ἑξῆς δὲ τούτοις κατὰ πενταγωνισμὸν ἀπὸ

XIII. Io. Phil. rec. I, με, μϛ; rec. II, λδ, λε. — Iambl. p. 131—138. — Theon. 28—30. — Boëth. II. 12—14.

1. ὁμογωνίου] -ώνου *H* πολυγώνου *C* — ἀνωτάτου om. *C* — 2. [μον. ἐλάττ.] delenda censeo; librarii neglegentia repetita sunt. — παρ' ἓν κειμένου] τῷ πολυγώνῳ τριγώνου *CH*, om *S* — 5. καὶ κ. πλάτος, quae Ast deleuit, tuetur Io. Phil. I, μδ (II, λγ) — 6. καὶ κατὰ *G*
XIII. Περὶ στερεῶν *Cμ* — 9. ἰσόπλευρος *P* — 14. στερεὸς om. *P*
XIII, 2. Περὶ πυραμίδων *Cμ* — 17. πλατυτ.] ἐπι- ει πέδων βάσ. add. *H* — 18. μειουριζομένων *GS* μυουριζόμεναι *C* — 20. βάσεως om. *H* δεύτερος . . . βάσεως om. *S* 21. ἑξῆς . . . ἀπὸ om. *P*

πενταγώνου βάσεως, εἶτα ἀνάλογον ἀπὸ ἑξαγώνου P
καὶ ἑπταγώνου καὶ ὀκταγώνου καὶ ἀεὶ ἐπ' ἄπειρον. 52

3 καθάπερ ἀμέλει καὶ ἐν τοῖς γεωμετρικοῖς στερεοῖς σχήμασιν ἀπὸ τριγώνου ἰσοπλεύρου ἐάν τις εὐθείας ἐννοήσῃ τρεῖς ἀπὸ τῶν γωνιῶν τῷ μήκει ἴσας ταῖς τοῦ τριγώνου πλευραῖς καθ' ὕψος συννευούσας εἰς ἓν καὶ τὸ αὐτὸ σημεῖον, πυραμὶς ἂν ἀποτελεσθείη ὑπὸ τεσσάρων περιεχομένη τριγώνων ἰσοπλεύρων τε καὶ ἴσων ἀλλήλοις, ἑνὸς μὲν τοῦ ἐξ ἀρχῆς τριγώνου, τριῶν δὲ τῶν περιγραφέντων ὑπὸ τῶν λεχθεισῶν τριῶν εὐθειῶν.

4 καὶ πάλιν ἀπὸ τετραγώνου ἐπιπέδου ἐάν τις τέσσαρας εὐθείας λογίσηται τῷ μήκει ἴσας ταῖς τοῦ τετραγώνου πλευραῖς ἑκάστην ἑκάστῃ πάλιν κατὰ τὸ ὕψος συννευούσας εἰς ἓν καὶ τὸ αὐτὸ σημεῖον, πυραμὶς ἂν ἀποτελεσθείη ἀπὸ τετραγώνου βάσεως τετραγωνικῶς μειουριζομένη, περιεχομένη δὲ ὑπὸ τεσσάρων μὲν τριγώνων ἰσοπλεύρων, ἑνὸς δὲ τετραγώνου τοῦ ἐξ ἀρχῆς.

5 καὶ ἀπὸ πενταγώνου δὲ καὶ ἑξαγώνου καὶ ἑπταγώνου καὶ μέχρις οὗ βούλεταί τις προχωρεῖν, τῷ αὐτῷ τρόπῳ εὐθεῖαι ἰσάριθμοι ταῖς γωνίαις ἀπ' αὐτῶν τῶν γωνιῶν ἀνεγειρόμεναι καὶ εἰς ἓν καὶ τὸ αὐτὸ συννεύουσαι σημεῖον πυραμίδα ἀποκορυφοῦσιν ὀνομαζομένην ἀπὸ πενταγώνου βάσεως ἢ ἑξαγώνου ἢ ἑπταγώνου

1. πενταγώνου βάσεως om. P — πενταγ.] τριγώνου G — 5. ἐπινοήσῃ CSH — τῷ μήκει om. H — 8. ὑπὸ τ. περιεχ. om. H — 10. παραγραφέντων G — 12. λογήσηται GP — 15. ἂν ἀποτελ. om. S — 16. τετραγωνικῶς om. H — μηουριζ. G μυουριζ. C — G adponit hasce figuras:



— 17. ἰσοπλεύρων om. H — 20. βούλει C — προχωροῦσι H

ἢ ἀνάλογον. οὕτω δὲ καὶ ἐν τοῖς ἀριθμοῖς ἀπὸ 6
μὲν μονάδος ὡς ἀπὸ σημείου πᾶς γραμμικὸς ηὐξήθη
ἀριθμός, οἷον

α, β γ, δ, ε

καὶ οἱ ἑξῆς ἐπ' ἄπειρον· ἀπ' αὐτῶν δὲ τούτων
γραμμικῶν ὄντων καὶ ἐφ' ἓν διαστατῶν πως συντε-
θέντων καὶ οὐχ ὡς ἔτυχεν οἱ πολύγωνοι καὶ ἐπί-
πεδοι ἀριθμοὶ πλάσσονται, τρίγωνοι μὲν παρὰ μη-
δένα συντεθέντων τῶν γνωμόνων, τετράγωνοι δὲ
παρὰ ἕνα, πεντάγωνοι δὲ παρὰ δύο καὶ ἀεὶ οὕτως.
τὸν αὐτὸν δὴ τρόπον καὶ αὐτῶν τούτων τῶν ἐπιπέ- 7
δων πολυγώνων ἀριθμῶν ἐπισωρευομένων ἀλλήλοις
καὶ ὡσανεὶ ἐποικοδομουμένων αἱ ὁμογενεῖς ἑκάστῳ
πυραμίδες γεννῶνται, ἡ μὲν ἀπὸ τριγώνου βάσεως
ἀπ' αὐτῶν τῶν τριγώνων, ἡ δὲ ἀπὸ τετραγώνου
βάσεως ἀπ' αὐτῶν τῶν τετραγώνων, ἡ δὲ ἀπὸ πεν-
ταγώνου ἀπὸ τῶν πενταγώνων καὶ ἡ ἀπὸ ἑξαγώνου
ἀπὸ τῶν ἑξαγώνων καὶ τοῦτο δι' ὅλου. εἰσὶν οὖν 8
αἱ μὲν ἀπὸ τριγώνου βάσεως εὔτακτοι αὗται

α, δ, ι, κ, λε, νϛ, πδ

---

2. γραμμικῶς *GP* (-ός tuetur Io. Phil. I, μϛ (II, λε) — 3 οἷον om. *H* — 6. διαστατὸν *C* — 8—10. τρίγωνος ... τετράγωνος ... πεντάγωνος *H* — 11. τούτων om. *H* — 13. ὡς ἂν ἐπ. *S* — ἐπικοδομ. *G* ἐνοικοδ. *H* — 14. ἀπογενν. *H* — 15. αὐτῶν om. *S* — οἱ δὲ *G* — 16. βάσεως om. *H* — αὐτῶν om. *SH* — 16. 17. βάσεως ... πενταγώνου om. *G* — 17. καὶ ἡ ... ἑξαγώνου om. *H* — 18. *G* adscribit:

πρώτη πυραμίς.	δευτέρα πυραμίς.	[τρίτη πυραμίς. om. *G*]
α	α	α
α	α	α
αα	αα	αα
	ααα	ααα
	ααα	ααα
		ααααα
		ααααα

καὶ ἐφεξῆς, ὧν ἡ γένεσις αὐτοὶ οἱ τρίγωνοι ἀλλή- P
λοις ἐπισωρευόμενοι, πρῶτος μὲν ὁ α, εἶτα ὁ αγ, 53
εἶτα ὁ αγς, εἶτα πρὸς τούτοις ὁ ι καὶ ἐφεξῆς σὺν
τοῖς πρόσθεν ὁ ιε καὶ ἐπὶ τούτοις ὁ κα καὶ ἑξῆς ὁ
9 *κη καὶ ἐπ' ἄπειρον. δῆλον δέ, ὅτι καὶ ὁ μείζων*
τῶν ἀριθμῶν κατώτατος νοεῖται, αὐτὸς γὰρ βάσις
εὑρίσκεται, ὁ δὲ εὐθὺς μετ' αὐτὸν ὑπὲρ αὐτὸν
καὶ ὁ μετ' ἐκεῖνον ὑπὲρ τοῦτον, ἕως ἂν ἡ μονὰς
ἐπὶ τῇ κορυφῇ φανῇ καὶ ὡςανεὶ εἰς σημεῖον ἀπο-
μειουρίσῃ τὴν τελείωσιν τῆς πυραμίδος.

XIV *ιδ. Αἱ δὲ ἑξῆς πυραμίδες εἰσὶν αἱ ἀπὸ τετρα-*
γώνου βάσεως ὁμοιοσχημόνως ἀνιστάμεναι ἐφ' ἓν
καὶ τὸ αὐτὸ σημεῖον· αὗται δὲ τῷ αὐτῷ τρόπῳ
πλάσσονται ταῖς προλεχθείσαις τριγωνικαῖς· τοὺς
γὰρ ἀπὸ μονάδος εὐτάκτους τετραγώνους στοιχηδὸν
ἐκθέμενος

α, δ, θ, ις, κε, λς, μθ, ξδ, πα, ρ

καὶ τοὺς ἑξῆς πάλιν σωρηδὸν ἐπιτίθημι ἀλλήλοις
κατὰ βάθος αὐτούς, τὸν α ἐπάνω τοῦ δ, καὶ γίνεται
πυραμὶς ἡ ε ἐνεργείᾳ πρώτη ἀπὸ τετραγώνου βά-
σεως, δυνάμει γὰρ πρώτη καὶ ἐνταῦθα ἡ μονάς.
2 *πάλιν δ' αὐτὴν ταύτην, ὡς ἔχει, τὴν πυραμίδα τὴν*
ἐκ πέντε μονάδων ἐπιτίθημι ὅλην τῷ θ τετραγώνῳ

XIV. Io. Phil. rec. I, *μζ, μη*; rec. II, *λε—λζ*. — Iambl. p. 131—138. — Boëth. II. 14. 15.

---

2. *ἐπισορ. G* — 7. *εὐθὺς ὑπ' αὐτὸν H* — 8. *ἐκεῖνον*] *καὶ* add. *G* — *ἕως* [*ὡς H*] *ἂν εἰς SH* — 9. *ἀπομυνουρίσῃ C*; *H* in mrg: *δύναται καὶ οὕτως ἀπογινώσκεσθαι· ἀπομυνουρίσῃ.*

XIV. 12. *ἱστάμεναι S* — 15. *εὐτάκτως H* — *στιχηδὸν PC* — 19. *γίνονται C* — 20. *τὰ ε C* — *βάσεως*] *πλευρὰν ἔχουσα πάντοθι* [*-θεν H*] *δυάδα* add. *CH* — 21. *διναμει G* — *πρώτη*] *α P* — 21—(p. 103) 2. *δυνάμει* . . .

*καὶ συνίσταταί μοι ἡ ιδ πυραμὶς ἀπὸ τετραγώνου
βάσεως πλευρὰν ἔχουσα πάντοθι τριάδα, τῆς προ-
τέρας δυάδα ἐχούσης τῆς ε, τῆς δὲ δυνάμει πρωτί-
στης μονάδα· δεῖ γὰρ καὶ ἐνθάδε τοσούτων ἑκά-
στην πλευρὰν ἡςτινοςοῦν πυραμίδος μονάδων εἶναι,
ὅσοιπέρ εἰσι τὸν ἀριθμὸν οἱ εἰς σύστασιν αὐτῆς
συσσωρευθέντες πολύγωνοι. πάλιν γὰρ τὴν ιδ πυ-* 3
*ραμίδα συνόλην βάσιν ἔχουσαν τὸν θ τετράγωνον
ἐπιτίθημι τῷ ις τετραγώνῳ καὶ ἀποτελεῖταί μοι ἡ λ
πυραμὶς τρίτη κατ' ἐνέργειαν τῶν ἀπὸ τετραγώνου
βάσεως οὖσα· τῇ δ' αὐτῇ τάξει καὶ ἀγωγῇ καὶ ἀπὸ
πενταγώνου βάσεως καὶ ἀπὸ ἑξαγώνου καὶ ἑπταγώ-
νου βάσεως καὶ ἐπὶ πλεῖον ἀεὶ προχωροῦντες πυ-
ραμίδας συστησόμεθα τοὺς ἀναλογοῦντας ἑκάστῃ
πολυγώνους ἐπισωρεύοντες ἀλλήλοις ἀπὸ μονάδος
ἀρχόμενοι ὡς ἀπὸ ἐλαχίστου καὶ προχωροῦντες
μέχρις ἀπείρου καθ' ἑκάστην. καὶ ἐκ τούτου δῆλον* 4
*γίνεται, ὅτι στοιχειωδέστερα τὰ τρίγωνα· πᾶσαι γὰρ
ἁπλῶς αἱ δεικνύμεναι καὶ φαινόμεναι πυραμίδες
ἀπὸ τῶν καθ' ἑκάστην πολυγώνων βάσεων τριγώ-
νοις μέχρι κορυφῆς περιέχονται.*

βάσεως om. *H*, qui haec sola scribit: *εἶτα β^α^ πυραμὶς ὁ ιδ.* *G* adscribit:

α	α
αα	αα
αα	αα
	ααα
	ααα
	ααα

2. *πάντοθεν S πανταχόθεν H* — *τριάδος*· *P* — 6. *τῶν ἀριθμῶν G* — *αὐτοῦ GP* — 7. *συσωρ. GP* ubique; *σωρευθ. S* — 8. *ὅλην H* — 9. *ις*] *ἑξακαιδεκάτῳ G* — *μοι* om. *C* — 13. *βάσεως* om. *CSH* — 14. *ἑκάστους P* — 17. *τούτων δὲ δ. H* — 18. *στοιχιωδ. G* — 19. *ἁπλῶς* om. *S* — *ὑφαινόμεναι GH*

P 54

5 Ἵνα δὲ μὴ ἀνήκοοι ὦμεν κολούρων καὶ δικολούρων καὶ τρικολούρων πυραμίδων, ὧν τοῖς ὀνόμασιν ἐντευξόμεθα ἐν συγγράμμασι μάλιστα τοῖς θεωρηματικοῖς, ἰστέον, ὅτι, ἐὰν πυραμὶς ἀφ' ἧςτινοςοῦν βάσεως, τουτέστιν ὁντιναοῦν πολύγωνον ἔχουσα βάσιν εἴτε τρίγωνον εἴτε τετράγωνον εἴτε πεντάγωνον εἴτε τῶν ἑξῆς τινα τῶν ὁμογενῶν πολυγώνων, κατὰ σωρείαν αὐξηθεῖσα μὴ ἐπὶ μονάδα μειουρισθῇ, κόλουρος ἁπλῶς λέγεται ἐστερημένη τῆς φυσικῆς καὶ πᾶσιν ἐπιβαλλούσης κορυφώσεως· οὐ γὰρ εἰς τὸν δυνάμει πολύγωνον τὴν μονάδα τελευτᾷ αὕτη ὡς εἰς ἕν τι σημεῖον, ἀλλ' εἰς ἕτερον ἐνεργείᾳ, καὶ οὐκέτι μονὰς κορυφή, ἀλλ' ἐπίπεδον αὐτῇ τὸ πέρας γίνεται ἰσογώνιον τῇ βάσει· ἐὰν δὲ πρὸς τῷ μὴ εἰς μονάδα τελευτᾶν ἔτι καὶ μὴ εἰς τὸν παρὰ τὴν μονάδα ἐνεργείᾳ πρῶτον τελευτήσῃ, δικόλουρος λέγεται ἡ τοιαύτη· ἐὰν δὲ καὶ ἔτι μὴ ἔχῃ τὸν ἐνεργείᾳ δεύτερον πολύγωνον ἐπὶ τῷ συμπεράσματι, ἀλλὰ μόνον τὸν ὑπ' αὐτόν, τρικόλουρος κεκλήσεται καὶ τετρακόλουρός γε, ἂν καὶ τὸν μετ' ἐκεῖνον μὴ ἔχῃ, καὶ πεντακόλουρος κατὰ τὸ ἑξῆς καὶ ἀεὶ μέχρι βούλει παρεκτείνειν τὸ ὄνομα.

XIV, 5. *Περὶ κολούρων SH* — 1. ἀνείκοοι *G* — 3. θεωρητικοῖς *P* θεολογικοῖς *S* (cf. Io. Phil. rec. I, μη: ἐπειδήπερ τοῖς τοιούτοις ὀνόμασιν, οἷα εἰκός, ἐντευξόμεθα ἐν βιβλίοις τισὶ θεωρητικοῖς — καὶ αὐτὸς γὰρ μεγίστην πραγματείαν θεολογικὴν τοιαύτην ἔγραψεν — εἴπωμεν κτλ. — rec. II, λζ: ὥςτε μὴ ἀνεννοήτους ἡμᾶς τούτων εἶναι παντάπασι, φησίν, ὡς ἐπειδήπερ τοῖς τοιούτοις ὀνόμασιν ἐντευξόμεθα ἐν βιβλίοις τισὶ θεωρηματικοῖς, τουτέστι θεωρήματα μαθηματικὰ περιέχουσι — καὶ αὐτὸς γὰρ ὁ Νικόμαχος μεγίστην πραγματείαν περὶ τούτων ἔγραψεν — εἴπωμεν κτλ.) — 4. ὁςτινοςοῦν *G* ἡντιναοῦν *C* — 6. εἴτε πεντ. om. *S* — 7. τὸν ἑξ. *P* — 8. μὴ] καὶ *G* — μυουρισθῇ *C* μειουρηθῇ *S* — 9. ἅπλος *P* — 10. ἐπιβαλούσης *P* — 15. καὶ εἰς, om. μὴ *GS* — 21. μέχρις οὗ *PCH*

ιε. Καὶ ἡ μὲν τῶν ἰσοπλεύρων στερεῶν ἀριθ- XV
μῶν πυραμοειδῶν γένεσις καὶ προκοπὴ καὶ ἐπαύξη-
σις καὶ φύσις τοιαύτη σπέρμα καὶ ῥίζαν ἔχουσα τοὺς
πολυγώνους αὐτοὺς καὶ τὴν ἐκείνων εὔτακτον ἐπι-
σωρείαν, ἑτέρα δέ τις στερεῶν ἑτερογενῶν εὐταξία
ἐστὶ τῶν λεγομένων κύβων, δοκίδων, πλινθίδων,
σφηνίσκων, σφαιρικῶν, παραλληλεπιπέδων, τὴν τῆς
προβάσεως τάξιν ἔχουσα τοιαύτην τινά. οἱ προ- 2
φρασθέντες τετράγωνοι

α, δ, ϑ, ιϛ, κε, λϛ, μϑ, ξδ

καὶ οἱ ἑξῆς διχῇ ὄντες διαστατοὶ καὶ ἐν τῇ ἐπιπέδῳ
σχηματογραφίᾳ μῆκος καὶ πλάτος μόνον ἔχοντες ἔτι
καὶ τρίτον προςλήψονται διάστημα καὶ ἔσονται στε-
ρεοὶ καὶ τριχῇ διαστατοί, ἐὰν τῇ ἰδίᾳ πλευρᾷ ἕκα-
στος πολλαπλασιασθῇ, ὁ μὲν δ δὶς β ὢν πάλιν δὶς
γενόμενος, ἵνα ὀγδοὰς ἀποτελεσθῇ, ὁ δὲ ϑ τρὶς γ
ὢν πάλιν τριάδι ἐπ' ἄλλο διάστημα αὐξηθῇ καὶ γέ-
νηται ὁ κζ, ὁ δὲ ιϛ τετράκις δ ὑπάρχων πάλιν τε-
τράδι τῇ αὐτοῦ πλευρᾷ μεγεθυνθῇ καὶ γένηται ὁ
ξδ, καὶ οἱ ἑξῆς παραπλησίως μέχρι παντός. τοσού- 3

XV. Io. Phil. rec. I, μϑ, ν; rec. II, λη. — Iambl. p. 137. 138. — Boëth. II. 16.

XV. 2. πυραμιδῶν *P* -μίδων *H* — γέννησις *H* in mrg. — 2. 3. ἐπαύξησις καὶ φύσις *P* ἐπαύξησις, φύσις *G* ἐπαυξήσεως φύσις *CSH* ἐπαύξησις φυσικὴ Ast — 5. Περὶ κύβων, δοκίδων, σφηνίσκων καὶ πλινθίδων *H* — ἑτέρων *C* — ἑτερογενῶν om. *P* — 7. σφηνίκων *C* — 10. ξδ om. *PCH* — 11. ὄντες] ἐπὶ μῆκος ἢ πλάτος add. *S* — 14. πλευρᾷ] πάλιν add. *H* — 15. πολυπλ. *H* διπλασιασθῇ *S* — δὶς] ἕκαστος *S* — 16. γενόμενοι *C* — ἀποτελεσθείη *H* — 16—18. ὁ δὲ ϑ . . . κζ om. *C* — 19. τῇ· αὐτῇ *CSH* — 18. 19. ὁ κζ . . . γένηται om. *P* — 19. ὁ om. *G* — 20. παντὸς] κύβοι οὗτοι πάντες καλοῦνται add. *C*

των δὲ καὶ ἐνθάδε μονάδων αἱ πλευραὶ ἔσονται, P 55 ὅσωνπερ ἦσαν καὶ αἱ τῶν τετραγώνων, ἀφ' ὧν ἐγένοντο, ἕκαστος ἀφ' ἑκάστου, αἱ μὲν τοῦ η δυάδων, ὅσων καὶ αἱ τοῦ δ, αἱ δὲ τοῦ κζ τριάδων, ὅσων καὶ αἱ τοῦ ϑ, αἱ δὲ τοῦ ξδ τετράδων, ὅσων καὶ αἱ τοῦ ις, καὶ τοῦτο ἐφεξῆς, ὥςτε καὶ ἡ τῆς δυνάμει κύβου μονάδος πλευρὰ μονὰς ἔσται πανταχόθι, ὅσηπερ καὶ

4 ἡ τῆς δυνάμει τετραγώνου μονάδος. καθόλου δὲ ἕκαστος τετράγωνος ἓν μὲν ἐπίπεδόν ἐστι, γωνίας δὲ ἔχει τέσσαρας καὶ πλευρὰς τέσσαρας, ἕκαστος δὲ κύβος ηὐξημένος ὢν ἐξ ἑκάστου τετραγώνου τῇ ἰδίᾳ πλευρᾷ πολυπλασιασθέντος ἐπίπεδα μὲν ἕξει πάντως ἕξ, ὧν ἕκαστον ἴσον τῷ προγόνῳ αὐτοῦ τετραγώνῳ, πλευρὰς δὲ δώδεκα, ὧν ἑκάστη ἴση καὶ μονάδων γε τῶν αὐτῶν τῇ τοῦ προγόνου τετραγώνου πλευρᾷ, γωνίας δὲ ὀκτὼ στερεάς, ὧν ἑκάστη περιέχεται ὑπὸ τριῶν πλευρῶν, οἷα ἐστὶν ἑκάστη τῶν ἐν τῷ προγόνῳ τετραγώνῳ.

XVI ις. Ἐπειδὴ οὖν πάντῃ ἰσόπλευρον ἐπὶ μῆκος καὶ

XVI. Io. Phil. rec. I, να, νβ; rec. II. λϑ. — Theon. 29. — Boëth. II. 16.

---

1. μονάδι P — 3. ἕκαστος] ἕκαστ G (οη) -ον P — 5. αἱ πλευραὶ τοῦ ϑ H — 6. ὥςτε] ὅθεν H — 7. πανταχόθεν P — ὅσηςπερ GSH ὅση P ὅσηπερ C — 12. πολλαπλ. S — ἔχει H — 13. ἕξ] ἐξ P — 14—16. μονάδων γε τοσαύτων, ὅση τοῦ προγ. τετραγ. πλευρά P, μον. γε τοσαύτων, ὅσων [καὶ C] ἡ τοῦ προγ. τετρ. πλευρά CH — 17. πλευρῶν] τοιούτων [scil. γωνιῶν] Ast. sed intellegendum γραμμικῶν, non ἐπιπέδων; Io. Phil. uocem πλευρῶν hoc loco ignorauit cf. rec. I, ν: ὑπὸ γ δέ τινων· γραμμῶν δηλονότι· τίνων γὰρ ἄλλων; αἱ μὲν γὰρ ἐν τῷ ἐπιπέδῳ γωνίαι ἑκάστη ὑπὸ β γραμμῶν περιέχεται, βαθυνομένου δὲ τοῦ ἐπιπέδου πρὸς ταῖς β τῆς γωνίας γραμμαῖς καὶ γη αὐταῖς προστίθεται ἡ τοῦ βάθους. — rec. II, λη: . . . . γίνεται στερεὰ γωνία περιεχομένη ὑπὸ γ εὐθειῶν. — ἐν om. P

βάθος καὶ πλάτος σχῆμα στερεὸν ὑπάρχει ὁ κύβος καὶ ἐπὶ τὰς λεγομένας ἓξ περιστάσεις ἰσοδιάστατον, ἀκόλουθον ἄρα ἐστίν, ἀντικεῖσθαι αὐτῷ τὸ μηδαμῇ ἴσας ἔχον τὰς διαστάσεις ἀλλήλαις, ἀλλ' ἄνισον τὴν τοῦ βάθους τῇ τοῦ πλάτους καὶ ἑκατέρα τούτων τὴν τοῦ μήκους, οἷον δὶς τρὶς τετράκις ἢ δὶς τετράκις ὀκτάκις ἢ τρὶς πεντάκις δωδεκάκις ἢ κατά τινα ἄλλην
ἀνισότητα τοιαύτην. τὰ δὲ τοιαῦτα στερεὰ σχήματα 2
λέγεται σκαληνὰ ἁπλῶς, ὧν πάντη τὰ διαστήματα ἄνισα ἀλλήλοις ἐστί· τινὲς δὲ αὐτὰ πωλυωνύμως σφηνίσκους καλοῦσι, καὶ γὰρ καὶ οἱ σφῆνες ἀνισόπλευροι πανταχῇ τεκτονικοί τε καὶ οἰκοδομικοὶ καὶ χαλκευτικοὶ καὶ οἱ τῶν ἄλλων τεχνῶν πλάσσονται ἀπὸ ὀξυτέρου ἄκρου διαδύνειν ἀρχόμενοι καὶ αἰεὶ μᾶλλον πλατυνόμενοι ἀνομοίως κατὰ πάντα τὰ διαστήματα· τινὲς δὲ τοὺς αὐτοὺς σφηκίσκους καλοῦσι, τοιοῦτος γὰρ καὶ ὁ τῶν σφηκῶν μάλιστα ὄγκος ἀποσφιγγόμενος κατὰ μέσον καὶ τὴν λεχθεῖσαν ὁμοιότητα ἐμφαίνων· παρὰ τοῦτο εἰκὸς καὶ τὸ σφήκωμα ὠνομάσθαι, ἔνθα γὰρ ἂν ἀποσφίγξῃ, τὴν τοῦ σφηκὸς ἐντομὴν μιμεῖται· ἕτεροι δὲ τοὺς αὐτοὺς βωμίσκους προς-
p ἀγορεύουσιν ἀπὸ οἰκείας εἰκόνος, οἱ γὰρ παλαιό-
56 τροποι βωμοί, μάλιστα δὲ ἰωνικοί, οὔτε τὸ πλάτος τῷ βάθει οὔτε συναμφότερα τῷ μήκει ἴσα ἔχουσιν οὔτε τὴν βάσιν τῇ κορυφῇ, ἀλλὰ πάντη εἰσὶν ἐξηλλαγμέ-

XVI. 3. ἄρα om. *S* — μηδαμῶς *PSH* — 4. ἔχων *P* — ἄνισον] ἔχον add. *H* — 5. 6. ἑκατέραν . . . τῇ *S* — 6. 7. οἷον δὶς ε, τετράκις ε, ἢ δὶς δ, τετράκις δ, ὀκτάκις δ, ἢ τρὶς γ, πεντάκις γ, δωδεκάκις γ ἢ κατά . . *P* δὶς τρία τετράκις ἢ δὶς δ ὀκτάκις ἢ τρὶς ε δωδεκάκις *C* — 10. σφῆναις *G* — 16. σφηνίσκους καὶ σφηκ. *H* — 17. μάλιστα om. *S* — ἀποσφηγγόμ. *G* ἀποσφιγγόμενοι *P* — 18. ἀνομοιότητα *H* — 22. παλαιότεροι *H* — 25. ἐξηλαγμ. *P*

3 νοι ταῖς διαστάσεσιν. ὡς οὖν ἀκροτήτων δύο κύβου τε καὶ σκαληνοῦ, τοῦ μὲν κατ' ἰσότητα διεστῶτος, τοῦ δὲ κατ' ἀνισότητα πάντη, μέσοι εἰσὶ στερεοὶ ἀριθμοὶ οἱ λεγόμενοι παραλληλεπίπεδοι, ὧν καὶ τὰ ἐπίπεδα ἑτερομήκεις ὑπάρχουσιν ἀριθμοί, ὥςπερ καὶ τῶν κύβων αὐτῶν τετράγωνοι ἀριθμοὶ ἦσαν τὰ ἐπίπεδα, ὡς ἐδείχθη.

XVII ιζ. Πάλιν οὖν ἄνωθεν ἑτερομήκης ἀριθμὸς λέγεται, οὗ ἐπιπέδως σχηματογραφηθέντος τετράπλευρος μὲν καὶ τετραγώνιος γίνεται ἡ καταγραφή, οὐ μὴν ἶσαι ἀλλήλαις αἱ πλευραὶ οὐδὲ τὸ μῆκος τῷ πλάτει ἶσον, ἀλλὰ παρὰ μονάδα, οἷον

ὁ β, ὁ ϛ, ὁ ιβ, ὁ κ, ὁ λ, ὁ μβ

καὶ οἱ ἑξῆς· ἂν γὰρ αὐτοὺς ἐπιπέδως διαγράφῃ τις, πάντως οὕτω ποιήσει·

ἅπαξ β β, δὶς γ ϛ, τρὶς δ ιβ

καὶ τοὺς ἑξῆς ἀναλόγως·

τετράκις ε, πεντάκις ϛ, ἑξάκις ζ, ἑπτάκις η

καὶ ἐπ' ἄπειρον, μόνον ἵνα μονάδι μείζων ἡ ἑτέρα πλευρὰ τῆς λοιπῆς ᾖ, ἄλλῳ δὲ μηδενὶ ἀριθμῷ· ἐὰν δὲ ἄλλως παρὰ τὴν μονάδα διαφέρωσιν ἀλλήλων αἱ πλευραί, οἷον δυάδι, τριάδι, τετράδι ἢ ἐφεξῆς, ὡς τὰ

δὶς δ ἢ τρὶς ϛ ἢ τετράκις η

XVII. Io. Phil. rec. I, νγ—νζ; rec. II, μ—μβ. — Iambl. p. 102 seq. — Theon. 24. 29. — Boëth. II. 17—20.

3. πάντη om. *S*

XVII. *Περὶ ἑτερομήκους GP* — 8. ἑτερομήκις *G* — 10. τετράγωνος *C* — 14. διαγράφει *P* — 15. οὕτω om. *S* — 16. β . . ϛ . . ιβ om. *H* — 17. ἀνάλογον *H* — 18. ε, πεντ. om. *P* — 20. οὐδενὶ *SH* — 21. ἄλλως] ἄλλῳ *H* — 22. δυάδι ἢ τρ. ἢ τετρ. *SH* — 24. τρὶς η *GPH* cf. XVIII, 2.

ἢ ὅπως ποτὲ οὖν ἑτέρως, οὐκέτι κυρίως ὁ τοιοῦτος ἑτερομήκης κληθήσεται, ἀλλὰ προμήκης· ἕτερον γὰρ καὶ ἑτερότητα οἱ παλαιοὶ οἱ περί τε Πυθαγόραν καὶ τοὺς ἐκείνου διαδόχους πυθμενικῶς ἐν τῇ δυάδι ἐθεώρουν, ταυτὸν δὲ καὶ ταυτότητα ἐν τῇ μονάδι, ὡς ἐν δυσὶν ἀρχαῖς τῶν ὅλων· εὑρίσκονται δὲ αὗται μονάδι μόνον ἀλλήλων διαφέρουσαι, ὥστε καὶ τὸ ἕτερον σπερματικῶς μονάδι ἕτερόν ἐστι καὶ οὐκ ἄλλῳ ἀριθμῷ· διόπερ καὶ συνήθως ἐπὶ δυοῖν, ἀλλ᾽ οὐκ ἐπὶ πλειόνων τὸ ἕτερον λέγεται παρὰ τοῖς ὀρθῶς διαλεγομένοις. ἀλλὰ μὴν καὶ μονάδι μὲν εἰδοποιεῖσθαι ἀπεδείχθη ὁ περισσὸς πᾶς ἀριθμός, δυάδι δὲ ὁ ἄρτιος
p πᾶς· ὅθεν εἰκότως τὸν μὲν περισσὸν τῆς ταυτοῦ
57 φύσεως ἐροῦμεν μετέχειν, τὸν δὲ ἄρτιον τῆς θατέρου, καὶ γὰρ δὴ καὶ κατὰ σωρείαν ἑκατέρου ἀποτελοῦνται φύσει, ἀλλ᾽ οὐχ ἡμῶν θεμένων, τῇ μὲν τοῦ ἀπὸ μονάδος περισσοῦ ἐπ᾽ ἄπειρον ἡ τετραγώνων φύσις, τῇ δὲ τοῦ ἀπὸ δυάδος ἀρτίου ἐπ᾽ ἄπειρον ἡ
τῶν ἑτερομηκῶν. πᾶσα ἄρα ἀνάγκη, τὸν μὲν τετρά- 3
γωνον οἴεσθαι πάλιν τῆς ταυτοῦ φύσεως μετέχειν· τὸν γὰρ αὐτὸν λόγον καὶ ὅμοιον καὶ ἀπαράλλακτον καὶ ἐν ἰσότητι κείμενον αἱ πλευραὶ αὐτοῦ ἀποδεικνύουσι πρὸς ἑαυτάς, τὸν δὲ ἑτερομήκη τῆς θατέρου· ὃν γὰρ μονὰς πρὸς δυάδα τρόπον παρήλλακται μονάδι μόνῃ διαφέρουσα, τοῦτον καὶ παντὸς ἑτερομήκους αἱ πλευραὶ πρὸς ἀλλήλας διαλλάσσου-

---

ις
2. ἑτερομήκες G — προμήκις G — 5. 6. ὡς … μονάδι om. P — 6. δυσὶν] δισσαῖς CS — 9. ἐπὶ δυ.] ἐστὶ δυ. H — 12. ὁ περισσὸς om. H — ὁ ante ἄρτιος om. GH — 13. τῆς τοῦ ταυτοῦ S — 17. τετραγώνου P — 20. αὐτοῦ P — μετέχειν] εἶναι SH — 25. μόνον S — τοῦτο P τούτῳ S — παντὸς] παντὶ G τοῦ S

σιν, ἡ ἑτέρα τῆς ἑτέρας μονάδι μόνον διαφέρουσα· οἷον ἐκκειμένου μοι τοῦ ἀπὸ μονάδος συνεχοῦς ἑξῆς ἀριθμοῦ ἐκλεξάμενος ἰδίᾳ μὲν τοὺς περισσοὺς τάσσω ἐν ἑνὶ στίχῳ, ἰδίᾳ δὲ τοὺς ἀρτίους ἐν ἑτέρῳ, καὶ γίνονταί μοι δύο στίχοι τοιοῦτοι·

α, γ, ε, ζ, ϑ, ια, ιγ, ιε, ιζ, ιϑ, κα, κγ, κε, κζ·
β, δ, ϛ, η, ι, ιβ, ιδ, ιϛ, ιη, κ, κβ, κδ, κϛ, κη.

4 ἀρχὴ μὲν οὖν τοῦ τῶν περισσῶν στίχου ἡ μονὰς ὁμογενής τε οὖσα καὶ τὴν τοῦ ταυτοῦ φύσιν ἔχουσα· διὸ οὔτε ἐάν τε ἑαυτὴν πολυπλασιάσῃ ἐπιπέδως ἢ στερεῶς, ἑτεροιοῦται οὔτε ἄλλον ὁντιναοῦν ἐξίστησι τοῦ ἐξ ἀρχῆς, ἀλλὰ τηρεῖ αὐτὸν ἐν ταυτῷ· τὸ δὲ
5 τοιοῦτον περὶ ἄλλον ἀριθμὸν εὑρεῖν ἀδύνατον. τοῦ δ' ἄλλου στίχου ἄρχει ἡ δυὰς ὁμογενὴς αὐτῷ οὖσα καὶ ἑτερότητος καταρκτική· εἴτε γὰρ ἑαυτὴν εἴτε ἄλλον πολυπλασιάσειεν, ἔκστασιν ποιεῖ, οἷον

δὶς β, δὶς γ.

6 Ὅταν δὲ ἢ

ὀκτάκις η δὶς ἢ τρίς,

τὰ τοιαῦτα στερεὰ σχήματα πλινθίδες λέγονται ἰσάκις ἴσοι ἐλαττονάκις· ἐὰν δὲ καὶ μείζονα τὰ ὕψη τῷ τετραγώνῳ προςγένηται, δοκίδες οἱ τοιοῦτοι ἀριθμοὶ λέγονται, οἷον

τρὶς γ ἑπτάκις ἢ ὀκτάκις ἢ ἐνάκις

---

2. μοι om. P, ἡμῖν SH — συνεχῶς H, om. C — 4. τάσσων S — 5. δύο om. S — τοιοῦτοι CSH — 8. ἄρχει P — 9. τὴν τοῦ αὐτοῦ P τὴν ταυτοῦ S — 10. διόπερ H — ἐάν τε om. CH — αὐτὴν H — πολυπλασιάσασα CH — 11. ἑτεριοῦται P — 12. τοῦ ἐξ ἀρχ.] τῆς ἀρχ. H — 14. ἄλλον] ἑτέρου S — ἀρχὴ S — 15. ἑαυτὸν GP — 16. ἄλλην H — 18. ἡ om. SH — 21. 22. τῶν τετραγώνων SH — 22. γένηται S προςγίν. H — 24—(p. 111) 1. ἑπτάκις ... μόνον] τετράκις ἢ πεντάκις ἢ ἑξάκις η ἑπτάκις ἢ ὁσακιςοῦν μόριον ὑπερβ. S — 24. ἐννάκις P ἐννεάκις CH

ἢ ὁσακιςοῦν μόνον ὑπερβαλλόντως· ἔστι δὲ δοκὶς ἀριθμὸς ἰσάκις ἴσος μειζονάκις· οἵ δέ γε σφηνίσκοι ἦσαν ἀνισάκις ἄνισοι ἀνισάκις καὶ οἵ κύβοι ἰσάκις ἴσοι ἰσάκις. αὐτῶν δὲ τῶν κύβων ὅσοι πρὸς 7 τῷ ἰσάκις ἴσοι ἰσάκις εἶναι ἔτι ἔχουσι καὶ τὸ αἰεὶ καταλήγειν κατὰ πᾶσαν πολυπλασίασιν εἰς τὸ αὐτό,
P ἀφ' οὗπερ ἤρξαντο, σφαιρικοὶ καλοῦνται, οἵ δ'
58 αὐτοὶ καὶ ἀποκαταστατικοί, ὥςπερ ἀμέλει ὁ ἀπὸ τῆς ε πλευρᾶς καὶ ὁ ἀπὸ τῆς ς· ὅσαις γὰρ ἂν αὐξήσεσιν αὐξήσω τούτων ἑκάτερον, εἰς τὸ αὐτὸ συμπέρασμα ἀεὶ τελευτήσει πάντως, ὁ μὲν ἀπὸ τοῦ ς εἰς αὐτὸ τὸ ς, ὁ δὲ ἀπὸ τοῦ ε εἰς αὐτὸ τὸ ε· οἷον πεντάκις ε εἰς τὸ ε τελευτήσει καὶ τοῦτο πεντάκις καὶ εἰ δέοι πάλιν πεντάκις τοῦτο καὶ μέχρις ἀπείρου ἑτέρα τις τελευτὴ οὐχ εὑρεθήσεται, πλὴν εἰ μὴ ἡ ε, καὶ ἀπὸ τοῦ ς τὸν αὐτὸν τρόπον ἡ ς καὶ ἄλλη οὐδεμία· ὥςτε καὶ ἡ μονὰς δυνάμει σφαιρική ἐστι καὶ ἀποκαταστατική, τὸ γὰρ αὐτὸ πάσχει τοῦτο, ὡς εἰκός, πάθος τὸ περὶ τὰς σφαίρας καὶ τοὺς κύκλους· ἐκείνων γὰρ ἑκάτερον, ὅθεν ἄρχεται, ἐκεῖ καὶ τελευτᾷ περικυκλούμενον καὶ περιστρεφόμενον. ὡς καὶ οἵ λεχθέντες οὗτοι ἀριθμοὶ μονώτατοι τῶν ἄλλων τῶν ἰσάκις ἴσων. καταστρέφουσιν εἰς τὴν αὐτὴν ἀρχήν,

2. ἴσον P — 5. τῷ] τὸ G — ἔτι] εἰ add. H — 6. πολυπλάσιον P — 9. ὅσαι P — ἂν om. H — 12. 13. πεντ. ε] κε add. S — 13. 14. καὶ τοῦτο . . . τοῦτο] καὶ τοῦτο πάλιν πεντάκις εἰς τὸ αὐτὸ τελευτήσει καὶ πάλιν τοῦτο πεντάκις καὶ εἰ δέοι πάλιν πεντάκις τοῦτο καὶ μέχρ. C καὶ πάλ. τοῦτον πεντάκ. καὶ εἰς τὸν αὐτὸν τελευτήσει πάλιν ρκε καὶ μέχρ. S καὶ τοῦ πεντ. πάλ. ρκε εἰς τὸ αὐτὸ τελ. καὶ πάλ. τοῦ πεντάκις καὶ μέχρ. H — 14. τοῦτο scripsi pro ε (GP) — 15. εἰ μὴ om. S ὁ ε CH — 16. ὁ ς C — 19. τὸ παρὰ P τῷ περὶ C — 23. ἴσων καὶ εἰς, om. καταστρέφουσιν P — εἰς . . . ἀρχὴν] εἰς τοὺς αὐτοὺς S

ὅθεν ἤρξαντο, κατὰ πάσας τὰς αὐξήσεις· ἀλλ' ἂν μὲν ἐπιπέδως δυσὶ διαστήμασι προκόψωσι, κυκλικοὶ λέγονται, ὡς ὁ

α, κε, λϛ

ἐκ τοῦ ἅπαξ α καὶ τοῦ πεντάκις ε καὶ τοῦ ἑξάκις ϛ· ἐὰν δὲ τρία διαστήματα ἔχωσιν ἢ ἐπὶ πλέον τούτων πολλαπλασιασθῶσι, σφαιρικοὶ στερεοὶ λέγονται, ὡς ὁ

α, ρκε, σιϛ

ἢ ἄλλως

α, χκε, ασ'ιϛ.

XVIII ιη. Καὶ περὶ μὲν στερεῶν ἀριθμῶν ἱκανὰ ἐν τῷ παρόντι καὶ ταῦτα· ἐπεὶ δὲ ἀρχὰς τῶν ὅλων οἵ τε φυσικοὶ καὶ οἱ ἐκ τῶν μαθημάτων ὁρμώμενοι τὸ ταυτὸν καὶ τὸ ἕτερον λέγουσιν, ἀπεδείχθη δὲ τὸ ταυτὸν μὲν ὑπάρχουσα ἡ μονὰς καὶ οἱ κατὰ εἰδοποίησιν αὐτῆς περισσοί, πολὺ δὲ μᾶλλον οἱ ἐκ τούτων συσσωρευομένων συνιστάμενοι τετράγωνοι ὡς ἂν δὴ ἰσότητος ἐν ταῖς πλευραῖς μετέχοντες, ἕτερον δὲ δυάς τε καὶ ὁ ὑπὸ ταύτης εἰδοποιούμενος πᾶς ἄρτιος, μάλιστα δὲ οἱ ὑπὸ τούτων συσσωρευομένων συνιστάμενοι ἑτερομήκεις διὰ τὸ πρώτης ἀνισότητος

XVIII. Io. Phil. rec. I, νη; rec. II, μγ, μδ. — Iambl. p. 102 seq. — Theon. 12—14. 17. 21. — Boëth. II, 21. 22.

---

2. κύκλοι S — 6. τοῦτον P — 7. πολυπλ. SH — σφαιρικοὶ] τότε praemittit S — 10. ἄλλως] πάλιν S

XVIII. 13. ὅλων] ὄντων C (οἱ) — 16. ει G — 17. αὐτῆς] ἀριθμοὶ add. H — 18. συνιστάμενοι om. S — 19. ἰσότητα G — 20. εἰδοποιούμενοι ἄρτιοι S — 21. τούτων] -ῳ P -ου H — σωρευομένων S -ου H — 22. διὰ τὸ καὶ τῆς πρώτης ἀνισ. S διὰ τὸ πρώτως τῆς ἀνισ. C

καὶ ἑτερότητος ἐν τῇ τῶν πλευρῶν διαφορᾷ μετέχειν,
ἔτι τοῦτο ἀποδεικτέον ἀναγκαιότατα, πῶς ἐν ἀμφο-
τέροις τούτοις ὡς ἐν ἀρχαῖς καὶ σπέρμασι δυνάμει
πάντα τὰ τοῦ ἀριθμοῦ ἰδιώματα προυπόκειται εἰ-
δῶν τε αὐτοῦ καὶ ὑποδιαιρέσεων σχέσεών τε πασῶν
καὶ πολυγώνων καὶ τῶν παραπλησίων. πρότερον δὲ 2
διασταλτέον ἡμῖν, ᾗ διαφέρει προμήκης ἀριθμὸς ἑτε-
p ρομήκους· ἑτερομήκης μὲν γάρ ἐστιν, ὡς προελέ-
59 χθη, ὁ γινόμενος ὑπὸ ἀριθμοῦ τὸν μονάδι ἑαυτοῦ
μείζονα πολυπλασιάσαντος, οἷον

ὁ ϛ ὑπὸ τοῦ δὶς γ,
ὁ ιβ ὑπὸ τοῦ τρὶς δ,

προμήκης δέ ἐστιν ὁ ὑπὸ δύο μὲν ἀριθμῶν διαφέ-
ρόντων ὁμοίως καὶ αὐτὸς γινόμενος, οὐ μὴν μονάδι
γε, ἀλλὰ μείζονί τινι ἀριθμῷ, οἷον

δὶς δ, τρὶς ϛ, τετράκις η,

καὶ οἱ παραπλήσιοι τῷ μήκει προπεπτωκότες τρόπον
τινὰ καὶ ὑπερβεβηκότες τὴν τῆς μονάδος διαφοράν.
οὐκοῦν ὅτι μὲν οἱ τετράγωνοι ὑπό τινων ἀριθμῶν 3
ἰδίῳ μήκει μηκυνθέντων γίνονται, ταυτὸν ἔχοντες
τὸ μῆκος τῷ πλάτει, ἰδιομήκεις ἂν κυρίως καὶ ταυ-
τομήκεις λέγοιντο, οἷον

δὶς β, τρὶς γ, τετράκις δ

καὶ οἱ ἑφεξῆς· εἰ δὲ τοῦτο, ἐπιδεκτικοὶ πάντως ταυ-
τότητος καὶ ἰσότητος, διόπερ ὡρισμένοι τε καὶ πε-
ραίνοντες· τὸ γὰρ ἴσον καὶ τὸ ταυτὸν ἑνὶ τρόπῳ

1. πλευρῶν] παλαιῶν S — 2. ἀναγκαιότ. om. S — 7. ἡμῖν om. SH — ᾗ] τίνι S — 8. ἑτερομήκεις μὲν G — 9. τοῦ μον. H — 10. πολλαπλ. H — 13. ἐστιν om. SH — 19. ἀριθμῶν om. S — 20. γίνεται C — τὸ αὐτὸ H — 21. πλάτος τῷ μήκει SH — ἰδιωμήκ. G — 22. οἷον om. H — 24. ἐπιδεικτικοὶ SH — 26. τὸ αὐτὸ H

καὶ ὡρισμένῳ τοιοῦτον· ὅτι δὲ καὶ οἱ ἑτερομήκεις ἀριθμοὶ οὐκ ἰδίῳ μήκει, ἀλλ' ἑτέρου μηκυνθέντος ἀποτελοῦνται, ἑτερομήκεις τε διὰ τοῦτο καὶ ἑτερό-
4 *τητος ἐπιδεκτικοὶ ἀπειρίας τε καὶ ἀοριστίας. τῇ δὲ ἄρα διχοστατεῖ καὶ διανενέμηται καὶ ἐναντία ἀλλήλοις φαίνεται τά τε τοῦ ἀριθμοῦ πάντα καὶ τὰ ἐν κόσμῳ πρὸς ταῦτα ἀποτελεσθέντα καὶ καλῶς οἱ παλαιοὶ φυσιολογεῖν ἀρχόμενοι τὴν πρώτην διαίρεσιν τῆς κοσμοποιίας ταύτῃ ποιοῦνται· Πλάτων μὲν τῆς ταυτοῦ φύσεως καὶ τῆς θατέρου ὀνομάζων καὶ πάλιν τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ τὰ αὐτὰ ἐχούσης οὐσίας τῆς τε αὖ μεριστῆς γινομένης, Φιλόλαος δὲ ἀναγκαῖον τὰ ἐόντα πάντα εἶμεν ἤτοι ἄπειρα ἢ περαίνοντα ἢ περαίνοντα ἅμα καὶ ἄπειρα, ὅπερ μᾶλλον συγκατατίθεται εἶναι, ἐκ περαινόντων ἅμα καὶ ἀπείρων συνεστάναι τὸν κόσμον, κατ' εἰκόνα δηλονότι τοῦ ἀριθμοῦ· καὶ γὰρ οὗτος σύμπας ἐκ μονάδος καὶ δυάδος σύγκειται ἀρτίου τε καὶ περιττοῦ, ἃ δὴ ἰσότητός τε καὶ ἀνισότητος ἐμφαντικὰ ταυτότητός τε καὶ ἑτερότητος περαίνοντός τε καὶ ἀπείρου ὡρισμένου τε καὶ ἀορίστου.*

XIX *ιθ. Ἵνα δὲ καὶ ἐναργῶς πεισθῶμεν περὶ τῶν λεγομένων, ὅτι ἄρα ἐκ μαχομένων καὶ ἐναντίων*

XIX. Io. Phil. rec. I, *νθ—ξδ*; rec. II, *με. μϛ.* — Iambl. p. 102 seq. — Boëth. II. 22. 23.

1. *ὅτι δὲ καὶ*] *ἔτι δὲ* *CH* — 2. *ἑτέρῳ* *S* — 3. *τῇ δὲ*] *ἡ δὲ* *P* *οὕτως* *H* — 9. *κοσμωποιίας* *G* — *ταύτην* Ast. — *Πλάτων*] cf. Tim. VIII (p. 35 A) — 13. *Φιλόλαος*] cf. Stob. Eclog. phys. I. p. 454 Heer. — *ἀνάγκη* *H* — *ἐόντα* om. *G* *ὄντα* *S* — 14. *πάντα* om. *P*, *omnia quae sunt* Boëth. II, 22 — *εἶμεν*] *εἶναι* *P* *ἦμεν* *C* m. 2. *εἰ μὲν* *H* *ἔμμεναι* *Γ* — 18. *οὕτως* *G* — *ἅπας* *S* — 20. *ἐμφαν///τικά* *G* *ἐκφαντικά* *H*
XIX. 21. *μαχομένου καὶ ἐναντίου* *S*

συνέστη τὰ ὄντα καὶ εἰκότως ἁρμονίαν ὑπεδέξατο (ἁρμονία δὲ πάντως ἐξ ἐναντίων γίνεται· ἔστι γὰρ P ἁρμονία πολυμιγέων ἕνωσις καὶ δίχα φρονεόντων 60 συμφρόνησις), ἐκθώμεθα ἐν δυσὶ παραλλήλοις ἐπὶ μῆκος στίχοις μηκέτι ἰδίᾳ ἀρτίους ἀπὸ δυάδος καὶ περισσοὺς ἀπὸ μονάδος, ὡς πρὸ μικροῦ, ἀλλὰ τοὺς ἐξ αὐτῶν τούτων συσσωρευθέντων αὐτοῖς ἀποτελεσθέντας, τετραγώνους μὲν ἀπὸ περισσῶν, ἑτερομήκεις δὲ ἀπὸ ἀρτίων· ἐνατενίζοντες γὰρ τῇ ἐκθέσει αὐτῶν θαυμάσομεν τὴν φιλαλληλίαν καὶ τὸ συλληπτικὸν ἀλλήλοις εἰς τὸ ἀπογεννᾶν τὰ λοιπὰ καὶ ἐκτελεῖν, ἵνα εἰκότως ἐπινοῶμεν καὶ ἐν τῇ τῶν ὅλων φύσει ἐντεῦθέν ποθεν τὸ τοιοῦτον ὑπὸ τῆς κοσμικῆς προνοίας συντελεῖσθαι. ἔστωσαν οὖν οἱ 2
δύο στίχοι τοιοῦτοι·

ὁ μὲν τῶν τετραγώνων ἀπὸ μονάδος

α, δ, θ, ιϛ, κε, λϛ, μθ, ξδ, πα, ρ, ρκα, ρμδ,
ρξθ, ρϟϛ, σκε·

ὁ δὲ τῶν ἑτερομηκῶν ἀπὸ δυάδος ἀρχόμενος καὶ αὐτὸς οὕτως·

β, ϛ, ιβ, κ, λ, μβ, νϛ, οβ, ϟ, ρι, ρλβ, ρνϛ, ρπβ,
σι, σμ.

πρῶτον μὲν οὖν πρῶτος πρώτου πυθμὴν πολλα- 3
πλάσιος, δεύτερος δὲ δευτέρου ἡμιόλιος, τρίτος δὲ τρίτου ἐπίτριτος, τέταρτος δὲ τετάρτου ἐπιτέταρτος,

4. *σύμφρασις GP* *συμφρόνασις CΓ* *συμφρόνησις SH* (Theo Smyrn. I. p. 15) *dissentientium consensio* Boëth. II, 22 (cf. Boeckh, Philol. p. 61.) — 4. 5. *ἐπὶ μῆκος*] *ἐπιμήκης S* *-εις H* — 6. *πρὸ μικροῦ*] *πρὶν S* — 7. *τούτων*] *τοιούτων P* *τουτέστι S* — *αὐτοῖς*] *-ῶν S* — 10. *θαυμάζομεν P* — *φιλαδελφίαν C* *amicitiam* Boëth. II, 23 — 12. *καὶ ἐν*] *καὶ* om. *G* — 13. *ποθεν* om. *H* — 14. *συντελεῖται H* — 19. 20. *ἀρχόμ. . . . οὕτως* om. *C* — 23. *πρῶτος* om. *S* — 25. *τρίτου*] *-ον G* — *τετάρτου*] *-ον G*

εἶτα ἐπίπεμπτος καὶ ἔφεκτος καὶ τοῦτο ἐπ᾿ ἄπειρον ἀναλόγως· διαφοραὶ δὲ αὐτῶν προκόψουσι κατὰ τὸν συνεχῆ ἀπὸ μονάδος ἀριθμόν, μονὰς μὲν τῶν πρώτων, δυὰς δὲ τῶν δευτέρων, τριὰς δὲ τῶν τρίτων καὶ ἀεὶ οὕτως· εἶτα δὲ ἐὰν ἀρξάμενος ὁ τῶν τετραγώνων δεύτερος συγκρίνηται κατὰ δυασμὸν τῷ πρώτῳ τῶν ἑτερομηκῶν καὶ ὁ τρίτος δευτέρῳ καὶ ὁ τέταρτος τρίτῳ καὶ ἀκολούθως οἱ λοιποί, τοὺς αὐτοὺς ἀπαραλλάκτους λόγους διατηρήσουσι τοῖς πρόσθεν, αἱ δὲ διαφοραὶ οὐκέτι ἀπὸ μονάδος, ἀλλ᾿ ἀπὸ δυάδος ἄρξονται προχωρεῖν αἱ αὐταί, καὶ κατὰ πρόβασιν δὲ ἐν τῇ προτέρᾳ συγκρίσει πρῶτος μὲν πρώτου πρῶτον πυθμένα πολλαπλάσιον ἕξει, δεύτερος δὲ δευτέρου δεύτερον ἀπὸ πυθμένος ἡμιόλιον, τρίτος δὲ τρίτου τρίτον ἀπὸ πυθμένος ἐπίτριτον, καὶ

4 παραπλησίως προκόψουσιν οἱ ἑξῆς. ἔτι δὲ οἱ μὲν τετράγωνοι πρὸς ἑαυτοὺς διαφορὰς τοὺς περισσοὺς μόνον ἔχουσιν, οἱ δὲ ἑτερομήκεις τοὺς ἀρτίους· ἂν δὲ καὶ τὸν πρῶτον ἑτερομήκη μέσον ἀμφοτέρων τῶν πρώτων τετραγώνων θῶμεν, τὸν δὲ δεύτερον τῶν ἑξῆς, τὸν δὲ τρίτον τῶν μετ᾿ αὐτούς, τὸν τέταρτον δὲ τῶν ἐφεξῆς, τούτοις ὀφθήσονται εὐτακτότεραι αἱ σχέσεις ἐν τρισὶν ὅροις· ἣν γὰρ ὁ δ πρὸς τὸν β [P 61] σχέσιν ἔχει, οὕτως ὁ β πρὸς μονάδα, καὶ ἣν ὁ θ

5. εἶτα δὲ] ἔπειτα S — ἐὰν ἀρξ.] ἐναρξάμ. P — 6. δεύτερος] -α G — 7. δευτέρῳ] β P — 9. λόγους om. P — 13. πρῶτον om. S — 14. δεύτερον πυθμένα GP — τρίτος δὲ om. H — 17. διαφορὰν H — 18. μόνους C — 21. μετὰ τούτους H — 23—(p. 117)4. ὅροις ... μείζων om. S — 23. 24. ἣν ... μονάδα] ἣν ὁ πρῶτος πρὸς τὸν δεύτερον σχ. ἔχ., οὕτως ὁ β πρὸς τὸν δ G ἣν ὁ δεύτερος πρὸς τὸν πρῶτον σχ. ἔχ., οὕτως ὁ δεύτερος πρὸς τὸν τρίτον P ἣν ὁ πρῶτος πρὸς τὸν δεύτερον σχ. ἔχ., ταύτην καὶ ὁ δεύτερος πρ. τὸν τέταρτον H. codicis C lectionem, quam ταύτην in οὕτως mutato recepi, tuetur Io. Phil. I, ξβ (II, μϛ).

πρὸς τὸν ϛ ἡμιολίως, οὕτως ὁ ϛ πρὸς τὸν δ, καὶ ἣν ὁ ιϛ πρὸς τὸν ιβ, οὕτως ὁ ιβ πρὸς τὸν ϑ, καὶ τοῦτο ἐφεξῆς τῶν ἀριθμῶν καὶ τῶν λόγων προκοπτόντων εὐτάκτως· ὡς γὰρ ὁ μείζων πρὸς τὸν μέσον, οὕτως ὁ μέσος πρὸς τὸν ἐλάχιστον ἔσται, καὶ οὐ τῷ αὐτῷ λόγῳ, ἀλλὰ ποικίλῳ ἀεὶ κατὰ προκοπήν· καὶ ἐπὶ πασῶν τῶν συζυγιῶν τὸ ὑπό ἴσον τῷ ἀπό καὶ ἅπαξ τὰ ἄκρα σὺν δὶς τῷ μέσῳ ἐναλλὰξ τετράγωνον πάντως ποιήσει καὶ τὸ πάντων τούτων γλαφυρώτατον, ἐξ ἀμφοτέρων συντιθεμένων τριγώνων γένεσις εὔτακτος γίνεται σημαίνουσα, ὡς τῆς τῶν πάντων ἀρχῆς ἀρχικωτέρα ἡ τούτων φύσις, α καὶ β, καὶ β καὶ δ, καὶ δ καὶ ϛ, καὶ ϛ καὶ ϑ, καὶ ϑ καὶ ιβ, καὶ ιβ καὶ ιϛ, καὶ ιϛ καὶ κ, καὶ ἀεὶ οὕτως οἱ τῶν πολυγώνων γεννητικοὶ τρίγωνοι εὔτακτοι γίνονται.

κ. Ἔτι δὲ καὶ πᾶς τετράγωνος προςλαβὼν τὴν XX
ἑαυτοῦ πλευρὰν ἑτερομήκης γίνεται ἢ νὴ Δί' ἀφαιρεθεὶς τὴν ἑαυτοῦ πλευράν· οὕτως καὶ τὸ ἕτερον καὶ ἐπὶ τὸ πλεῖον καὶ ἐπὶ τὸ ἔλαττον νοεῖται τοῦ ταυτοῦ, εἴπερ κατὰ πρόςθεσιν καὶ ἀφαίρεσιν συντελεῖται, καθὰ καὶ τοῦ ἀνίσου τὰ δύο εἴδη τό τε μεῖζον καὶ τὸ ἔλαττον κατὰ πρόςθεσιν ἢ ἀφαίρεσιν
προςγινομένην τῷ ἴσῳ τὴν γένεσιν λαμβάνει. ἑκα- 2

XX. Io. Phil. rec. I, ξε—ξζ; rec. II, μϛ, μζ. — Iambl. p. 102 seq. — Boëth. II. 24—29.

6. ποικίλλων P ποικίλως Io. Phil. I, ξβ — ἀεὶ om. H — 8. συνδεὶς P συνθεὶς S — ἐναλλὰξ om. C — 9. ποιήσεις S — γλαφυρώτερον SH — 10. συντιθεμένων] τετραγώνου καὶ ἑτερομήκους add. H — 12—14. αβ καὶ βδ κτλ. S — 13. καὶ δ om. G — 14. κ] καὶ κ καὶ κε add. H

XX. 19. νοεῖται] θεωρεῖται H in mrg. — 19. 20. τοῦ αὐτοῦ GP — 20. καθὸ S — 22. τὸ om. GP

νὸν καὶ τοῦτο τεκμήριον τοῦ ταυτότητος καὶ ἑτερότητος μετέχειν τὰ εἴδη ἀμφότερα, ἑτερότητος μὲν ἀορίστως, ταυτότητος δὲ ὡρισμένως, γενικῶς μὲν μονάδα καὶ δυάδα, ὑποβεβηκότως δὲ περισσὸν μὲν ταυτότητος διὰ τὸ μονάδι ὁμογενὲς εἶναι, ἄρτιον δὲ
3 ἑτερότητος διὰ τὸ δυάδι. καὶ ἔτι ἐκδηλότερον, τετράγωνον μὲν διὰ τὸ σύνθεσιν περισσοῦ εἶναι ταυτότητι συγγενῆ ὑπάρχειν, ἑτερομήκη δὲ διὰ τὸ ἀρτίου ἑτερότητι· καὶ γὰρ καὶ ὡς φιλάλληλα ἐν τοῖς δυσὶ στίχοις μεταδιδόασιν ἀλλήλοις τὰ δύο εἴδη ταῦτα παρὰ μέρος τῶν αὐτῶν διαφορῶν, εἰ μὴ καὶ τῶν αὐτῶν λόγων, καὶ ἀνάπαλιν τῶν αὐτῶν λόγων, εἰ μὴ καὶ τῶν αὐτῶν διαφορῶν· ὃ γὰρ μεταξὺ τοῦ δ καὶ τοῦ β διπλασίως, τοῦτο ἐπιμορίως μεταξὺ τοῦ ς καὶ τοῦ δ, καὶ πάλιν ὃ μεταξὺ τοῦ ϑ καὶ ς ἡμιο- P
λίως, τοῦτο μεταξὺ τοῦ ιβ καὶ ϑ ἐπιτρίτως, καὶ ἀεὶ 62
οὕτως· καὶ ὃ ποιότητι ταυτόν, ποσότητι ἕτερον, καὶ
4 τοὐναντίον ὃ ποσότητι ταυτόν, ποιότητι ἕτερον. καὶ πάλιν, ὅτι ἀναγκαίως κατὰ πάσας τὰς σχέσεις ἡ αὐτὴ διαφορὰ τῶν δύο ὅρων μονάδι ἐξηλλαγμένως μέρος λεχϑήσεται, τοῦ μὲν ἥμισυ, τοῦ δὲ τρίτον ὑπάρχουσα, ἢ τοῦ μὲν τρίτον, τοῦ δὲ τέταρτον, ἢ ἄλλως τοῦ μὲν τέταρτον, τοῦ δὲ πέμπτον, καὶ ἐφε-
5 ξῆς οὕτως. ὃ δὲ μάλιστα βεβαιώσει, ταυτότητος αἰτιώτατον εἶναι τὸ περισσόν, οὐδέποτε δὲ τὸ ἄρτιον, ἐκεῖνο παραδεικτέον ἐν πάσῃ ἀπὸ μονάδος ἀναλόγῳ ἐκϑέσει, οἷον διπλασίῳ μὲν

α, β, δ, η, ις, λβ, ξδ, ρκη, σνς,

5. ὁμογενῆ C — 10. μεταδίδωσιν CH — 17. 18. κὰκ τοῦ ἐναντίου H, S superscr. — 25. τὸν περ. ... ἄρτ. P τὸν περ. ... τὸν ἄρτ. C — 26. ἀναλόγως C ἀνάλογον H — 27. διπλασίᾳ H

τριπλασίῳ δὲ

α, γ, ϑ, κζ, πα, σμγ, ψκϑ, ͵βρπζ

καὶ μέχρι οὗ βούλει, πάντας εὑρήσεις ἐξ ἀνάγκης τοὺς ἐν περισσαῖς χώραις τετραγώνους, ἄλλους δὲ οὐκέτι οὐδεμιᾷ μηχανῇ, οὐδένα δὲ ἐν ἀρτίᾳ τετράγωνον, ἀλλὰ καὶ οἱ ἰσάκις ἴσοι ἰσάκις ἅπαντες, τουτέστι κύβοι τριχῇ διαστατοὶ ὄντες καὶ ταυτότητος ἐπὶ πλεῖον δοκοῦντες μετέχειν ἔργον εἰσὶ περισσῶν, ἀλλ' οὐκ ἀρτίων,

ὁ α καὶ η καὶ κζ καὶ ξδ καὶ ρκε καὶ σις

καὶ οἱ ἀνάλογον προχωροῦντες καὶ ἁπλῇ γε καὶ ἀποικίλῳ ἐφόδῳ· ἐκτεθέντων γὰρ τῶν ἀπὸ μονάδος ἐπ' ἄπειρον συνεχῶν περισσῶν ἐπισκόπει οὕτως, ὁ πρῶτος τὸν δυνάμει κύβον ποιεῖ, οἱ δὲ δύο μετ' ἐκεῖνον συντεθέντες τὸν δεύτερον, οἱ δὲ ἐπὶ τούτοις τρεῖς τὸν τρίτον, οἱ δὲ συνεχεῖς τούτοις τέσσαρες τὸν τέταρτον, οἱ δὲ ἐφεξῆς τούτοις πέντε τὸν πέμπτον καὶ οἱ ἑξῆς ἓξ τὸν ἕκτον καὶ τοῦτο μέχρις αἰεί.

κα. Ἐπὶ δὲ τούτοις καιρὸς ἂν εἴη τὸν περὶ ἀνα- XXI
λογιῶν τρόπον προςθέντας ἀναγκαιότατον ὄντα εἰς τὰς φυσιολογίας καὶ εἰς τὰ μουσικά τε καὶ σφαιρικὰ καὶ γραμμικὰ θεωρήματα, οὐχ ἥκιστα δὲ καὶ εἰς τὰς τῶν παλαιῶν συναναγνώσεις, τέλος ἐπιθεῖναι τῇ ἀριθ-

---

XXI. Io. Phil. rec. I, *ξη — ογ*; rec. II, *μη, μϑ*. — Iambl. p. 138—141. — Boëth. II. 30.

1. *τριπλασίᾳ H* — 3. *οὐ* om. *P* — 4. *χώραις*] *τεταγμένους* add. *C* — 5. *ἀρτίῳ SH* — 6. *τουτέστιν οἱ S* — 8. *ἔργων P* — 10. *ὁ η G*, artic. quinquies add. *SH* — 11. *ἀνάλογοι P* — 13. *συνεχῶς P* — 17. *ἑξῆς*] *εὐθύς H*, *ἑξ.* in mrg.

XXI. *Περὶ ἀναλογιῶν GCμSHF* — 19. *δὲ*] *δὴ G ἐπειδὴ P* — 20. *τρόπον* codd. *τόπον* Ast. ex Iambl. p. 138 recepit — 21. *τοὺς μουσ. G*

μητικῇ εἰςαγωγῇ τὸ ἁρμόζον ἅμα καὶ συμμετρότα-
2 *τον. ἔστιν οὖν ἀναλογία κυρίως δυεῖν ἢ πλειόνων*
λόγων σύλληψις ἐς τὸ αὐτό, κοινότερον δὲ δυεῖν ἢ
πλεόνων σχέσεων, κἂν μὴ λόγῳ τῷ αὐτῷ ὑποτάσ-
3 *σωνται, διαφορᾷ δὲ ἤ τινι ἑτέρῳ. λόγος μὲν οὖν*
ἐστι δύο ὅρων πρὸς ἀλλήλους σχέσις, σύνθεσις δὲ
τῶν τοιούτων ἡ ἀναλογία, ὥςτε ἐν ἐλαχίστοις ὅροις p
τρισὶν αὕτη συμμέμικται, δύναταί γε μὴν καὶ ἐν 63
πλείοσι κατὰ τὸ αὐτὸ διάστημα ἢ κατὰ τὸν αὐτὸν
λόγον προχωρεῖν· οἷον τοῦ α πρὸς τὸν β λόγος
ἐστὶ δύο ὅρων ὑπαρχόντων, εἷς ὁ διπλάσιος, ἀλλὰ
καὶ τοῦ β πρὸς τὸν δ ἕτερος λόγος ὅμοιος· ἀναλο-
γία ἄρα ἡ

α, β, δ,

λόγων γὰρ σύλληψις ἢ ὅρων τριῶν κατὰ τὸν αὐτὸν
4 *λόγον θεωρουμένων πρὸς ἀλλήλους. καὶ ἐν πλείοσι*
δὲ καὶ ἐπιμηκεστέραις ἐκθέσεσι τὸ αὐτὸ δύναται θεω-
ρεῖσθαι· προςαπτέσθω γὰρ τέταρτος ὅρος ὁ η μετὰ
τὸν δ πάλιν ἐν ὁμοίᾳ σχέσει, διπλασίων γάρ, καὶ
5 *πάλιν μετὰ τὸν η ὁ ις καὶ ἀεὶ οὕτως. ἐὰν μὲν οὖν*
ὁ αὐτὸς ὅρος ἀεὶ εἷς καὶ ἀπαράλλακτος πρὸς τοὺς
παρ' ἑκάτερα αὐτοῦ ἀποκρίνηται, πρὸς μὲν τὸν μεί-
ζονα ὡς ὑπόλογος, πρὸς δὲ τὸν ἐλάσσονα ὡς

---

1. *συμμετρότητι G -τρώτατον P* — 2. *ἀναλογία* cf. Eucl. V, *ὅρ. ζ—θ* — 3. *σύλληψεις* (ις supra) *G* — *ἐς* om. *H* — 4. *ὑποτάσσονται* (ις supra) *PC* — 6. *σχέσεις G* — 8. *σύμμικται P συμβήσεται H* — *δύν. γε μὴν καὶ*] *δύν. μὲν H* — 9. *κατὰ τὸ . . . ἢ* om. *P* — 10. *ὁ τοῦ α H* — 11. *ὑπάρχων, ὧν εἷς* (ε supra) Ast. — *εἷς ὁ διπλ.*] *ὑποδιπλάσιος H* — 12. *λόγων G* — 15. *τριῶν*] *τοὐλάχιστον* add. *CS* — *κατὰ*] *ἀνὰ H* — 16. *πρὸς ἀλλήλους*] *ἡ ἀναλογία ἐστί μ* — 17. *δύνασθαι S* — 19. *ἐν* om. *H* — *διπλάσιος S -ίω C*

πρόλογος, συνημμένη λέγεται ἡ τοιαύτη ἀναλογία, οἷον

α, β, δ

κατὰ ποιότητα· οἷος γὰρ ὁ δ πρὸς τὸν β, τοιοῦτος ὁ αὐτὸς β πρὸς τὸν α, καὶ ἀνάπαλιν οἷος ὁ α πρὸς τὸν β, τοιοῦτος ὁ αὐτὸς β πρὸς τὸν δ· κατὰ ποσότητα δὲ οἷον

α, β, γ·

ὅσον γὰρ ὁ γ τοῦ β ὑπερέχει, τοσοῦτον καὶ αὐτὸς ὁ β τοῦ α, καὶ ἐξ ἐναντίου, ὅσον ὁ α τοῦ β ἐλαττοῦται, τοσοῦτον καὶ αὐτὸς ὁ β τοῦ γ. ἐὰν δὲ ἕτερος 6
μὲν ὅρος ὑπακούῃ πρὸς τὸν ἐλάττονα πρόλογος γινόμενος καὶ μείζων, ἕτερος δὲ καὶ μὴ ὁ αὐτὸς πρὸς τὸν μείζονα ὑπόλογός τε γινόμενος καὶ ἐλάττων, οὐκέτι συνημμένη, ἀλλὰ διεξευγμένη λέγεται ἡ τοιαύτη μεσότης τε καὶ ἀναλογία· οἷον κατὰ μὲν τὸ ποιὸν

α, β, δ, η·

ὡς γὰρ τὰ β πρὸς τὸ α, οὕτω τὰ η πρὸς τὰ δ, καὶ ἀνάπαλιν

ὡς τὸ α πρὸς τὰ β, οὕτως τὰ δ πρὸς τὰ η, ἐναλλάξ τε

ὡς τὸ α πρὸς τὰ δ, οὕτω τὰ β πρὸς τὰ η, ἢ

ὡς τὰ δ πρὸς τὸ α, οὕτως τὰ η πρὸς τὰ β· κατὰ δὲ τὸ ποσὸν οὕτως

---

5. *πρὸς τὸ α G* — 6. *τοιοῦτος] οὕτως G* — *αὐτὸς* om. *S* — 10. 11. *καὶ ἐξ . . . γ* om. *H* — 10. *ὅσον ὁ β τοῦ α G* — 11. *καὶ τοσοῦτ. G* — 14. *γινόμενος] λεγόμενος H* — 19—22. *ὡς γὰρ . . . ἐναλλάξ] ὡς γὰρ ἡ μονὰς πρὸς τὰ β, οὕτω τὰ δ πρὸς τὰ η, ἐναλλ. H* — 20. *καὶ ἀνάπ . . . δ* om. *C* — 22. *καὶ ἐναλλ. τε G τε* om. *P* — 24. 25. *ἢ ὡς . . . α* om. *S* — 25. *τὰ η πρὸς] τὰ β πρ. G* — 26. *οὕτως] ὡς H*

α, β, γ, δ·

ὅσῳ γὰρ τὸ α τοῦ β λείπεται, τοσούτῳ καὶ τὰ γ τοῦ δ,

ἢ

ὅσῳ τὰ δ τοῦ γ περισσεύει, τοσούτῳ καὶ τὰ β τοῦ α,

ἢ καὶ ἀναμὶξ

ὅσῳ τὰ γ τοῦ α, τοσούτῳ τὰ δ τοῦ β,

ἢ

ὅσῳ λείπεται τὸ α τῶν γ, τοσούτῳ τὰ β τῶν δ.

XXII *κβ. Εἰσὶν οὖν ἀναλογίαι αἱ μὲν πρῶται καὶ παρὰ πᾶσι τοῖς παλαιοῖς ὁμολογούμεναι, Πυθαγόρᾳ τε καὶ Πλάτωνι καὶ Ἀριστοτέλει, τρεῖς πρώτισται ἀριθμητική, γεωμετρική, ἁρμονική. αἱ δὲ ταύταις ὑπεναντίαι ἄλλαι τρεῖς, ἰδίων μὴ τετευχυῖαι ὀνομάτων, κοινότερον δὲ λεγόμεναι μεσότητες τετάρτη,* P 64 *πέμπτη, ἕκτη· μεθ' ἃς καὶ ἄλλας τέσσαρας οἱ νεώτεροι εὑρίσκουσι, συμπληροῦντες τὸν δέκατον ἀριθμὸν κατὰ τὸ τοῖς Πυθαγορικοῖς δοκοῦν ὡς τελειότατον, καθ' ὃν καὶ αἱ δέκα σχέσεις ὤφθησαν ἡμῖν πρὸ βραχέος ποσότητα λαμβάνουσαι καὶ αἱ δέκα λεγόμεναι κατηγορίαι καὶ τῶν ἡμετέρων χειρῶν καὶ*

XXII. Io. Phil. rec. I, *οδ*; rec. II, *ν*. — Iambl. p. 141. 142. — Boëth. II. 31.

---

2. *ὅσων . . . τοσσῦτον S* — 8. *τοσούτῳ* ante *τὰ δ* om. *H*

XXII. 11. *ἀναλογία G* — 12. *παρὰ* om. *C* — *Πυθαγορικοῖς H* — 13. *καὶ Πλάτωνι* om. *G* *παρὰ Πλ. καὶ παρὰ Ἀρ. H* — 15. *τετευχεῖαι P* — 16. *κοινότεραι G* — 18. *εὗρον S* — *συμπληροῦντα G* — *δέκατον* om. *S* *τὸν ι CH denarius numerus* Boëth. II, 31 — 19. *Πυθαγόρᾳ S* *quod erat Pythagorae complacitus* Boëth. — 21. *ποσότητι G* — *αἱ δέκα*] *αἱ δὲ P* —

ποδῶν αἱ τῶν ἀκρωτηρίων διαιρέσεις καὶ σχέσεις καὶ ἕτερα μυρία, ἃ κατ' οἰκεῖον τόπον ἐν ἑτέροις ὀψόμεθα. νῦν δὲ περὶ τῶν ἀναλογιῶν ἄνωθεν τε- 2
χνολογητέον καὶ πρῶτόν γε περὶ τῆς κατὰ τὸ ποσὸν τὴν τῶν ὅρων σύγκρισιν οἰκειούσης ἀλλήλοις καὶ συνδεούσης, ἥ ἐστι κατὰ τὴν τῶν ὅρων πρὸς ἀλλήλους διαφορὰν ἴση κατὰ τὸ ποσὸν οὖσα· αὕτη δ' ἂν εἴη ἡ ἀριθμητική, ταύτης γὰρ ἴδιον προαπεδόθη τὸ ποσόν. τίς οὖν ἡ αἰτία, ὅτι περὶ ταύτης πρώτης 3
καὶ οὐ περὶ ἄλλης; ἢ δῆλον, ὅτι καὶ ἡ φύσις αὐτὴν πρὸ τῶν ἄλλων ἐμφαίνει· ἐν γὰρ τῇ τοῦ ἁπλοῦ ἀριθμοῦ φυσικῇ ἀπὸ μονάδος ἐκθέσει μηδενὸς παραλειπομένου μηδ' ὑπεξαιρουμένου σῴζεται ὁ ταύτης μόνης λόγος, ἀλλὰ καὶ ἐν τοῖς ἔμπροσθεν ἀπεδείξαμεν συλλογισάμενοι καὶ αὐτὴν τὴν ἀριθμητικὴν εἰσαγωγὴν πρὸ πασῶν τῶν ἄλλων ὑπάρχειν συναναιροῦσαν μὲν ἑαυτῇ ἐκείνας, οὐ συναναιρουμένην δέ, καὶ συνεπιφερομένην μὲν ἐκείναις, οὐ συνεπιφέρουσαν δέ, ὥστε εἰκότως καὶ ἡ ὁμώνυμος τῇ ἀριθμητικῇ μεσότης οὐκ ἀλόγως προηγήσεται τῶν ἐν ἐκείναις ὁμωνύμων μεσοτήτων, γεωμετρικῆς τε καὶ ἁρμονικῆς· τῶν γὰρ ὑπεναντίων ἐκδηλότατον ὅτι πολὺ μᾶλλον ἡγήσεται, ὧνπερ αὗται ἡγεμόνες. πρω- 4
τίστη ἄρα καὶ ἔξαρχος δικαιοτάτη ἡ ἀριθμητικὴ οὖσα φυσικῶς καὶ παρ' ἡμῶν τυγχανέτω διαρθρώσεως πρό γε τῶν ἄλλων.

---

1. ποδῶν] κώλων H — αἱ τῶν ἀκρ.] κατὰ τὰ ἀκρωτήρια C — 3. σκεψόμεθα S — ἄνωθεν om. S — 4. περὶ τῆς] τὴν S — 6. ἥ ἐστιν P ὅ ἐστι H — 7. ἴσην . . . οὖσαν C — 8. ταύτης] αὐτῆς H — 10. ἢ om. H — αὐτὴ ἡ φύσις S — 14. μόνος P — 17. μὴ συναιαιρ. S — 20. ἐν om. S — 22. τῶν γὰρ] ἄλλων add. SH — 24. ἐξ ἀρχῆς GP — δικαιότατα CSH — 25. διάρθρωσις P

XXIII κγ. Ἔστιν οὖν ἀριθμητικὴ μεσότης, ὅταν τριῶν
ἢ πλειόνων ὅρων ἐφεξῆς ἀλλήλοις κειμένων ἢ ἐπι-
νοουμένων ἡ αὐτὴ κατὰ ποσότητα διαφορὰ εὑρίσκη-
ται μεταξὺ τῶν ἐφεξῆς ὑπάρχουσα, μὴ μέντοι λόγος
ὁ αὐτὸς ἐν τοῖς ὅροις πρὸς ἀλλήλους γίνηται, οἷον
α, β, γ, δ, ε, ϛ, ζ, η, ϑ, ι, ια, ιβ, ιγ·
ἐν γὰρ τῇ φυσικῇ ταύτῃ ἐκθέσει τοῦ ἀριθμοῦ συνε-
χῶς καὶ ἀνυπερβάτως ἐξεταζομένη εὑρίσκεται πᾶς P
ὁστισοῦν ὅρος δυεῖν ἀνὰ μέσον τεταγμένος τὴν ἀριθ- 65
μητικὴν πρὸς αὐτοὺς διασώζων μεσότητα· ἴσαι γὰρ
αἱ διαφοραὶ αὐτοῦ εἰσι πρὸς τοὺς ἑκατέρωθεν τεταγ-
μένους, οὐ μὴν ἔτι καὶ λόγος ὁ αὐτὸς σώζεται ἐν
2 αὐτοῖς. ἐπιστάμεθα δέ, ὡς ἐν τῇ τοιαύτῃ ἐκθέσει
συνημμένη τε καὶ διεζευγμένη γίνεται μεσότης· εἰ
μὲν γὰρ ὁ αὐτὸς μέσος ὅρος πρόλογός τε καὶ ὑπό-
λογος πρὸς τοὺς ἑκατέρωθεν ὑπακούοι, συνημμένη
ἂν εἴη, εἰ δὲ σὺν αὐτῷ ἕτερος, διεζευγμένη γίνεται
3 μεσότης. ἐὰν μὲν οὖν ἐκ τῆς ἐκθέσεως ταύτης τρεῖς
ἀποτεμόμενοι οὑστιναςοῦν παραλλήλους κατὰ τὴν
συνημμένην σκοπῶμεν ἢ τέσσαρας ἢ πλείους κατὰ
τὴν διεζευγμένην, μονὰς ἂν εἴη πάντων ἡ διαφορά,
λόγοι δὲ ἕτεροι ἐκ παντός· ἐὰν δὲ μὴ παραλλήλους,
ἀλλὰ διεχεῖς, κατὰ ἴσην μέντοι παράλειψιν, πάλιν
δὲ ἤτοι τρεῖς ἢ πλέονας, εἰ μὲν εἷς ὁ παραλειπόμε-

XXIII. Io. Phil. rec. I, οε—πβ; rec. II, να—νη. — Iambl. p. 142—147. — Boëth. II. 32.

XXIII. *Περὶ ἀριθμητικῆς μεσότητος GHΓ Περὶ ἀρ. ἀναλογίας CμS* — 5. *γίνεται P* — 8. *ἀνεπιβάτως G* — *ἐξεταζομένων S* — 12. *ἔτι* om. *C* — 13. *τῇ αὐτῇ G* — 17. 18. *γίν. μεσότης* om. *H* — 18. *θέσεως P* — 22. *ἐκ παντὸς*] *παντως S* — 23. *παράλεψιν G -ληψιν P*

νος εἴη καθ' ἑκάστην θέσιν ὅρου, δυὰς ἔσται ἡ δια-
φορὰ πάντων, καὶ πάλιν ἐν τρισὶ μὲν συνημμένη,
ἐν πλείοσι δὲ διῃρημένη· εἰ δὲ δύο οἱ παραλειπό-
μενοι, τριὰς πάντως ἡ διαφορὰ ἐν ἅπασι συνημμέ-
νοις τε καὶ διεζευγμένοις, εἰ δὲ τρεῖς, τετράς, εἰ δὲ
τέσσαρας, πεντάς, καὶ τοῦτο ἐφ' ὁποσονοῦν. μετέχει 4
ἄρα ἡ τοιαύτη ποσοῦ μὲν ἴσου ἐν ταῖς διαφοραῖς,
ποιοῦ δὲ οὐκέτι ἴσου· διὰ τοῦτο ἀριθμητική· εἰ δ'
ἔμπαλιν ποιοῦ μὲν ὁμοίου μετεῖχε, ποσοῦ δὲ οὔ, ἦν
ἂν γεωμετρικὴ ἀντὶ ἀριθμητικῆς. ἴδιον δὲ ὑπάρχει 5
τῆσδε τῆς μεσότητος, ὃ μηδεμιᾷ ἄλλῃ συμβέβηκε, τὸ
κατὰ σύνθεσιν τῶν ἄκρων ὑποδιπλάσιον ἢ ἴσον τὸ
μέσον εἶναι, ἄν τε συνημμένως ἄν τε διεζευγμένως
σκοπῆται ἄν τε ἐναλλάξ· ἢ γὰρ τὸ μέσον σὺν ἑαυτῷ
ἢ τὰ μέσα σὺν ἀλλήλοις ἴσα τῇ τῶν ἄκρων συνθέσει.
ἔτι καὶ ἄλλο ἔχει ἴδιον· ὃν γὰρ ἔχει λόγον ἕκαστος 6
ὅρος πρὸς ἑαυτόν, τοῦτον αἱ διαφοραὶ πρὸς τὰς δια-
φοράς, τουτέστιν ἐν ἰσότητί εἰσιν· ἔτι τὸ γλαφυρώ-
τατον καὶ τοὺς πολλοὺς λεληθός, τὸ ὑπὸ τῶν ἄκρων
γινόμενον συγκρινόμενον τῷ ἀπὸ τοῦ μέσου ἔλαττον
αὐτοῦ εὑρίσκεται τῷ ὑπὸ τῶν διαφορῶν, ἐάν τε
μονάδες ὦσιν ἐάν τε δυάδες ἐάν τε τριάδες ἐάν τε
τετράδες ἐάν τε ὁστισοῦν ἀριθμός· τέταρτον δέ, ὃ

1. θέσιν om. *P* — 3. εἰ] οἱ *G* — παραλειπ.] εἶεν add. *S* — 5. διεζευγμένοις] διῃρημένοις *PC* — 7. ἡ τοι-[8]αύτη] αὕτη *SH* — 9. ὁμοίως *G* — μετέχει *P* — 11. τῆσδε] ταύτης *S* — 12. ὑποδιπλάσιος *G* — 12. 13. τὸ μέσον ante ἢ, om. εἶναι *H* διπλάσιον τοῦ μέσου ἢ ἴσον τοῖς μέσοις εἶναι *C* — 14. αὐτῷ *H* — 16. ὃν γὰρ ἔχει κτλ.] cf. Io. Phil. I, οθ: . . . . ψυχρὸν δὲ τὸ αὐτὸ ἑαυτῷ ἴσον λέγων τὸν μέσον· τὸ γὰρ ἴσον ἑτέρῳ τινί ἐστιν ἴσον, οὐχ ἑαυτῷ κτλ. — rec. II, νγ: ἐπιλαμβάνονταί τινες αὐτοῦ . . . . ἀγνοοῦντες, ὅτι μάλιστα καὶ πρώτως τὸ ἴσον ἐν τῷ ἑνὶ θεωρεῖται κτλ. — 17. τὰς om. *GPC* — 18. εἰσιν] ἴση *P*

καὶ οἱ πρόσθεν πάντες ἐσημειώσαντο, οἱ ἐν τοῖς P
ἐλάττοσιν ὅροις λόγοι συγκρινόμενοι πρὸς τοὺς ἐν 66
τοῖς μείζοσι μείζονές εἰσι· δειχθήσονται δὲ ἐν τῇ ἁρμονικῇ ἐναντίως οἱ ἐν τοῖς μείζοσι μείζονες καὶ οἱ ἐν τοῖς ἐλάττοσιν ἐλάττονες· διὰ τοῦτο ὑπεναντία ἡ ἁρμονικὴ μεσότης τῇ ἀριθμητικῇ, μεταίχμιον δὲ αὐτῶν ὥςπερ ἀκροτήτων ἐστὶν ἡ γεωμετρικὴ ἔχουσα τοὺς ἐν τοῖς μείζοσιν ὅροις λόγους καὶ τοὺς ἐν τοῖς ἐλάττοσιν ἀλλήλοις ἴσους· ἐν μεσότητι δὲ ἡμῖν ὤφθη τὸ ἴσον τοῦ μείζονος καὶ τοῦ ἐλάττονος. τοσάδε ἡμῖν περὶ τῆς ἀριθμητικῆς μεσότητος.

XXIV *κδ. Ἡ δὲ ἐπὶ ταύτῃ συνεχὴς γεωμετρικὴ μεσότης κυρίως ἀναλογία μόνη καλουμένη διὰ τὸ ἀνὰ τὸν αὐτὸν λόγον θεωρεῖσθαι πρὸς ἀλλήλους τοὺς ἐν αὐτῇ ὅρους· ἔστι δέ, ὅταν τριῶν ὅρων ἢ πλειόνων ὡς ἔχει ὁ μέγιστος πρὸς τὸν ὑπ' αὐτόν, οὕτως αὐτὸς πρὸς τὸν ὑποβεβηκότα ἔχῃ, ἐὰν δὲ πλείονες ὅροι εἶεν, καὶ αὐτὸς πάλιν πρὸς τὸν ὑπ' αὐτόν, ποσότητι μέντοι μὴ τῇ αὐτῇ διαφέρωσιν ἀλλήλων, ἀλλὰ λόγου ποιότητι τῇ αὐτῇ, ἐναντίως ἢ ἐπὶ τῆς*
2 *ἀριθμητικῆς ὤφθη. οἷον ὑποδείγματος χάριν ἐκκείσθωσαν οἱ ἀπὸ μονάδος κατὰ διπλάσιον λόγον προχωροῦντες*

XXIV. Io. Phil. rec. I, *πγ—ϟ*; rec. II, *νδ—νη*. — Iambl. p. 147—151. — Boëth. II, 33—35.

---

2. *λόγοις P* — 4. 5. *καὶ οἱ . . . ἐλάττονες* om. *H* — 7. *ὥςπερ ἀκρ. ἐστ.* om. *H* — 11. *τόσα μὲν S* — *ἡμῖν*] *δὴ C*

XXIV. *Περὶ γεωμετρικῆς μεσότητος ΗΓ Περὶ [τῆς S] γεωμετρικῆς ἀναλογίας CμS* — 12. *ταύτης P* — 13. *τὸ ἀνὰ* om. *P* — 15. *πλειόνων*] *ὅρων* add. *S* — 16. *ἔχει* om. *H* — 17. *ἔχει S* — 17. 18. *ἐὰν δὲ . . . εἶεν*] *καὶ εἰ πλ. οἱ ὅρ. εἶεν C, H* post *ὑπ' αὐτόν*. *εἰ δὲ πλ. εἶεν οἱ ὅρ. S* — 19. *μὴ*] *οὐ H* — 20. *λόγον G* — 22. *διπλασίονα SH*

α, β, δ, η, ιϛ, λβ, ξδ

καὶ ἐπ' ἄπειρον, ἢ κατὰ τριπλασίονα

α, γ, θ, κζ, πα, σμγ

καὶ ἐφεξῆς ἢ κατὰ τετραπλάσιον ἢ παραπλησίως τοῖς ἐκτεθεῖσιν· ἐν ἑκάστῳ γὰρ τούτων τῶν στίχων τρεῖς παράλληλοι ἢ τέσσσαρες ἢ ὁσοιοῦν ληφθέντες τὴν γεωμετρικὴν πρὸς ἀλλήλους ἀποδώσουσιν ἀναλογίαν· ὡς ὁ πρῶτος πρὸς τὸν ὑπ' αὐτόν, οὕτως κἀκεῖνος πρὸς τὸν ὑπ' αὐτὸν καὶ πάλιν ἐκεῖνος πρὸς τὸν ἔτι ὑπ' αὐτὸν καὶ τοῦτο μέχρι θέλει τις, καὶ ἀναμίξ· οἷον

β, δ, η·

ὃν γὰρ λόγον ἔχει ὁ η πρὸς τὸν δ, τοῦτον καὶ ὁ δ πρὸς τὸν β καὶ ἀνάπαλιν, οὐ μὴν ἴσην ποσότητα μεταξὺ ἀλλήλων ἔχουσιν· ἢ πάλιν

β, δ, η, ιϛ·

οὐ γὰρ μόνον ὁ ιϛ πρὸς τὸν η τὸν αὐτὸν τοῖς πρόσθεν λόγον ἔχει, εἰ καὶ μὴ διαφοράν, ἀλλὰ καὶ ἀναμὶξ διασώζει τὴν ὁμοίαν σχέσιν, ὡς ὁ ιϛ πρὸς τὸν δ, οὕτως καὶ ὁ η πρὸς τὸν β, καὶ ἔμπαλιν ὡς ὁ β πρὸς τὸν η, οὕτως καὶ ὁ δ πρὸς τὸν ιϛ, καὶ διεζευγμένως ὡς ὁ β πρὸς τὸν δ, οὕτως ὁ η πρὸς τὸν ιϛ, ἀναστρόφως τε καὶ κατὰ τὸ διεζευγμένον ὡς ὁ ιϛ πρὸς τὸν η, οὕτως καὶ ὁ δ πρὸς τὸν β· ἔχει γ'ὰρ τὸν διπλασίονα λόγον.

p

67 Ἴδιον δὲ ἔχει ἡ γεωμετρικὴ μεσότης, ὃ μηδεμία 3

---

4. τετραπλ. ἢ] πενταπλάσιον add. CS τετραπλασίονα α, δ, ιϛ, ξδ, σνϛ καὶ ἀεὶ οὕτως H — 5. ἐκτεθέσι P — 10. τοῦτο om. C — μέχρις οὗ C μέχρις ἂν ἐθέλῃ S — 11. ἀναμίξ] ἀνάπαλιν C — 13. τοῦτον ἔχει δ P uncis incl. — 13. 14. ἢ πάλιν . . . ιϛ om. C — 17. γὰρ] ὃν add. P — 19. διασώσει H — 24. διπλάσιον P — 24. 25. ἔχει . . . λόγον om. CSH

τῶν λοιπῶν, τὸ τὰς τῶν ὅρων διαφορὰς ἐν λόγῳ πρὸς ἀλλήλας τῷ αὐτῷ εἶναι, ἐν ᾧ καὶ οἱ ὅροι πρὸς τοὺς συνεχεῖς οἱ μείζονες πρὸς τοὺς ἐλάττονας, καὶ τὰς ἀνάπαλιν ὡς οἱ ἀνάπαλιν· ἔτι καὶ ἕτερον ἰδίωμα τὸ τοὺς μείζονας ὅρους διαφορὰν ἔχειν πρὸς τοὺς ἐλάττονας αὐτοὺς τοὺς ἐλάττονας καὶ κατὰ τὰ αὐτὰ διαφορὰν πρὸς διαφορὰν αὐτῇ τῇ ἐλάττονι διαφέρειν ἐν διπλασίῳ λόγῳ ἐκτιθεμένων τῶν ὅρων, ἐν δὲ τριπλασίῳ διαφορὰν ἕξουσι δὶς τὸν ὑπ' αὐτὸν οἱ ὅροι καὶ αἱ διαφοραί, ἐν δὲ τετραπλασίῳ τρὶς καὶ ἐν πενταπλασίῳ τετράκις καὶ τοῦτο μέχρι παντός.
οὐ μόνον δὲ ἐν πολλαπλασίοις ἀναλογίαι γίνονται 4
γεωμετρικαί, ἀλλὰ καὶ ἐν ἐπιμορίοις εἴδεσιν ἅπασι καὶ ἐπιμερέσι καὶ μικτοῖς, καὶ τὸ ἐξαίρετον ἰδίωμα τῆς μεσότητος ταύτης ἐπὶ πασῶν σώζεται, τῶν μὲν συνημμένων τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ἀπὸ τοῦ μέσου, τῶν δὲ ἐν διαζεύξει ἢ καὶ ἐν πλείοσιν ὅροις, κἂν μὴ συνημμένοι ὦσιν, ἀρτιοταγεῖς δέ, τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ὑπὸ τῶν μέσων.

Παράδειγμα δὲ τοῦ ἐν πάσαις ταῖς σχέσεσι πο- 5
λυπλασίαις τε παντοίαις καὶ ἐπιμορίοις παντοίαις καὶ ἐπιμερέσι παντοίαις καὶ μικταῖς παντοίαις τὸ τῆς ἀναλογίας ταύτης ἰδίωμα σώζεσθαι ἔστω ἱκανὸν καὶ αὔταρκες ἡμῖν ἐκεῖνο, ἐν ᾧ ἀπὸ ἰσότητος ἐπλασσο-

1. *τῶν* post *τὰς* om. *G* — 4. *τοὺς ἀνάπαλιν CH* — *ὡς οἱ ἀνάπ.* om. *P* — 5. *διαφορὰς ἔχ. S* — 6. *αὐτοὺς τοὺς ἐλάττ.* om. *G* — *ταῦτα H* — 7. *διαφορᾷ πρὸς P* — 8. *διαπλασίονι S* — 9. *τοὺς ὑπ' αὐτοὺς H* — 10. *ἐν δὲ τετρ. δὲ G* — 12. *ὑποπολλαπλ. P* *πολυπλασίαις ἀναλογίαις H* — 13. *ἐπιμορίοις*] *μορίοις G* — 18. *μὴ* om. *GPH* — *συμμένοι P* — 19. *ἴσων τῷ ἀπὸ G* *ἀπὸ P*; omnes quibus his uerbis utitur Nicom. loci *ὑπὸ* tuentur; cf. I, 8, 14; 9, 6 cet. (Io. Phil. rec. I, *πζ*; II, *νϛ*.) — 21. *καὶ ἐπιμορ. παντ.* om. *GP* — 24. *ἀπὸ τῆς ἰσότ. S*

μεν κατὰ τὰ τρία προστάγματα πάντα τὰ τοῦ ἀνίσου
εἴδη ἐξ ἀλλήλων ὀρθῶς τε τιθεμένων καὶ ἀναστρε-
φομένων· ἑκάστη γὰρ πλάσις καὶ ἔκθεσις ἀναλογία
ἐστὶ γεωμετρικὴ πάντα τὰ λεχθέντα ἰδιώματα περι-
έχουσα καὶ τέταρτον τὸ ἔν τε μείζοσιν ὅροις ἔν τε
ἐλάττοσι τὸν αὐτὸν διαφυλάττειν λόγον· ἀλλὰ καὶ
ἐὰν τὸν κοινὸν στίχον ἑτερομηκῶν τε καὶ τετραγώ-
νων ἐκθώμεθα ἕνα παρ' ἕνα περιέχοντα τοὺς ἐν
ἀμφοτέροις αὐτοῖς, εἶτα κατὰ τρεῖς ἀπὸ μονάδος ἀπο-
τεμνόμενοι σκοπῶμεν αἰεὶ τὸν τῶν προτέρων ὕστερον
ἀρχὴν τῶν ὑστέρων τιθέμενοι, εὑρήσομεν ἀπὸ πολ-
λαπλασίου σχέσεως, τουτέστι διπλασίου, πάσας τὰς
ἐπιμορίους ἑξῆς ἐπιφαινομένας, ἡμιόλιον, εἶτα ἐπί-
τριτον, εἶτα ἐπιτέταρτον καὶ ἐφεξῆς. εὐκαιρότατον 6
δ' ἂν εἴη ἐνταῦθα γενομένους ἐπιμνησθῆναι παρα-
P κολουθήματος χρησιμεύοντος ἡμῖν εἰς Πλατωνικόν
69 τι θεώρημα· οἱ μὲν γὰρ ἐπίπεδοι μιᾷ μεσότητι συνέ-
χονται πάντως, οἱ δὲ στερεοὶ δυσὶν ἀνάλογον κειμέ-
ναις· δύο γὰρ τετραγώνων συνεχῶν εἷς μόνος εὑ-
ρίσκεται μέσος ἀναλογίαν σώζων γεωμετρικήν,
πρόλογος μὲν πρὸς τὸν ἐλάττονα, ὑπόλογος δὲ πρὸς
τὸν μείζονα, οὐδέποτε δὲ πλείονες· δύο ἄρα δια-
στήματα θεωροῦμεν πρὸς ἑκάτερον τῶν ἄκρων
αὐτοῦ τοῦ μέσου ἐν σχέσει λόγων ὁμοίων. πάλιν 7
δὲ δύο κύβων συνεχῶν δύο μόνοι εὑρίσκονται ἀνά-
λογον μέσοι ὅροι κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν,

---

2. ἀντιστρεφομένων S — 4. μετρικὴ P — περιέχουσαι G — 5. 6. ἔν τε ἐλ.] καὶ ἐλάσσοσι S — 8. 9. ἔχοντα ἀμφοτέρους αὐτούς C — 11. πολυπλ. H πολλαπλασιασμοῦ P — 13. ἐπιμορίου C — ἀποφαινομ. G — 14. εὐκαιρότερον C — 15. γενομένη G — 16. Πλατων.] Tim. 7; Polit. VIII, 3. — 23. θεωρούμενα P — τῶν ἄκρων om. C — 25. ἀνάλογοι P — 26. ἀναλογίαν] σχέσιν S

πλείονες δὲ οὐδέποτε· τρία ἄρα διαστήματα, ἓν
μὲν τὸ μεταξὺ τῶν μέσων πρὸς ἀλλήλους, δύο δὲ
τὰ μεταξὺ τῶν ἄκρων πρὸς τοὺς μέσους ἑκατέρωθεν.
8 οὕτω τὰ μὲν στερεὰ σχήματα λέγεται τριχῇ δια-
στατά, τὰ δὲ ἐπίπεδα διχῇ, οἷον ὁ α καὶ ὁ δ ἐπίπε-
δοι, μέσος δὲ ἀνάλογον ὁ β, ἢ οἷον δ, ϑ, δύο τετρά-
γωνοι, μέσος δὲ αὐτῶν ἀνάλογον ὁ ϛ ἐν τῷ αὐτῷ
λόγῳ ἐχόμενος ὑπὸ τοῦ μείζονος καὶ ἔχων τὸν ἐλάτ-
9 τονα, ἐν ᾧ καὶ ἡ διαφορὰ διαφορὰν ἔχει. τούτου δ'
αἴτιον, ὅτι αἱ τῶν δύο τετραγώνων πλευραί, ἑκατέρα
μία ἰδία, αὐτὸν τὸν ϛ ἅμα ἀμφότεραι ἐγέννησαν· ἐν
δὲ κύβοις, οἷον τῷ η καὶ τῷ κζ, μία μὲν οὐκέτι, δύο
δὲ μεσότητες εὑρίσκονται ὅ τε ιβ καὶ ιη, ἐν τῷ
αὐτῷ λόγῳ ἑαυτάς τε καὶ τοὺς ὅρους ποιοῦσαι, ἐν
ᾧ καὶ αἱ διαφοραὶ αὐτῶν πρὸς ἀλλήλας εἰσί· καὶ
τούτου δ' αἴτιον τὸ τῶν κυβικῶν πλευρῶν μίγδην
σύστημα εἶναι τὰς δύο μεσότητας, δὶς β τρὶς καὶ τρὶς
10 γ δίς. ἐὰν μὲν οὖν καθόλου τετράγωνος τετράγω-
νον λάβῃ, τουτέστι πολυπλασιάσῃ, τετράγωνον πάν-
τως ποιεῖ, ἂν δὲ τετράγωνος ἑτερομήκη [ἢ ἑτερομήκης
τετράγωνον], οὐδέποτε τετράγωνος ἀποτελεῖται, κἂν

5. 6. *οἷον . . . ἢ* om. *H* — 6. *οἷον* om. *C* — *ὁ δ καὶ ὁ ϑ CS* — *δύο τετράγ.* om. *H* — 9. *διαφορὰ*] *πρὸς* add. *PC* — 10. *ἑκατέρου* C_2SH — 11. *ἰδίως C* — *αὐτὸν τὸν ϛ* om. *H* *τὸν ϛ* om. *CS* — *ἀμφότερα G* — 14. *ὅρους*] *ἄκρους C* — 16. *μίγδην* om *H* — 17. *δὶς δύο, τρὶς τρεῖς, δὶς P* *τρὶς καὶ τρὶς τρία καὶ δὶς S* — 19. *λάβῃς G* — *πολυπλασιάζῃ P* — 20. 21. *ἑτερομήκη . . . τετράγωνος* om. *G* *ἐὰν δὲ τετράγωνος ἑτερομήκης, οὐδέπ. P* *ἐὰν δὲ τετράγωνος ἑτερομήκη ἢ ἑτερομήκης ἑτερομήκη, οὐδέπ. CH (S ?)* nostram lectionem tuetur Boëth. II, 35: *sin uero parte altera longior tetragonum multiplicet uel tetragonus parte altera longiorem, numquam cet.*; sed cum ea, quae uncis inclusi, ab utraque scholiorum Ioanneorum recensione (I, *πϑ*; II, *νη*) absint, an rectius deleantur, haud scio.

κύβος κύβον, κύβος πάντως γενήσεται, ἐὰν δὲ ἑτε-
ρομήκης κύβον [ἢ κύβος ἑτερομήκη], οὐδέποτε κύβος,
καθάπερ ἀμέλει ἂν ἄρτιος ἄρτιον πολυπλασιάσῃ,
πάντως ἄρτιος γεννᾶται, κἂν περισσὸς περισσόν,
πάντως περισσός, ἂν δὲ περισσὸς ἄρτιον ἢ ἄρτιος
περισσόν, πάντως ὁ γινόμενος ἔσται ἄρτιος, οὐδέ-
ποτε δὲ περισσός. ταῦτα δὲ τῆς οἰκείας σαφηνείας 11
ἐπιλήψεται ἐν τῇ Πλατωνικῇ συναναγνώσει κατὰ
τὸν τοῦ λεγομένου γάμου τόπον ἐν τῇ Πολιτείᾳ
ἀπὸ προσώπου τῶν Μουσῶν παρειςαγομένου· ὥςτε
P ἐπὶ τὴν τρίτην ἀναλογίαν τὴν καλουμένην ἁρμονι-
70 κὴν μεταβάντες διαιρῶμεν.

κε. Ἔστι γὰρ ἡ τῇ τρίτῃ τάξει μεσότης ἁρμο- XXV
νικὴ καλουμένη, ὅταν ἐν τρισὶν ὅροις ὁ μέσος θεω-
ρῆται πρὸς τοὺς ἄκρους μήτε ἐν λόγῳ τῷ αὐτῷ ἐξε-
ταζόμενος, τοῦ μὲν πρόλογος, τοῦ δὲ ὑπόλογος, ὡς
ἐπὶ τῆς γεωμετρικῆς, μήτε ἐν διαστήμασι μὲν ἴσοις,
λόγων δὲ ἑτερότητι, ὡς ἐπὶ τῆς ἀριθμητικῆς, ἀλλ'
ὅταν, ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον ὅρον ἔχει,
οὕτω καὶ ἡ τοῦ μεγίστου διαφορὰ παρὰ τὸν μέσον
πρὸς τὴν τοῦ μέσου διαφορὰν παρὰ τὸν ἐλάχιστον,
οἷον

XXV. Io. Phil. rec. I, ʹια—ρ; rec. II, νθ, ξ. — Iambl. p. 151. 152. — Boëth. II. 36.

—

1. κύβος] *G* ubique κῦβος scribit, cf. Anthol. Palat. XIV, 8 — ἑτερομήκης] στερεός add. Io. Phil. I, πθ. — 2. [ἢ κύβος ἑτερομήκη] om. Io. Phil. l. l. κύβος Astius Boëthium secutus addidit; ἐὰν δὲ ἑτερομήκης, κύβον ἑτερομήκη *P* — 5—7. ἂν δὲ περ. . . . περισσός om. *C*

XXV. *Περὶ μουσικῆς ἀναλογίας G Περὶ ἁρμονικῆς ἀναλ. Cμ Περὶ ἁρμονικῆς μεσότητος HΓ* — 16. δ' ὑπόλ. *GC* — 19. ἔχειν *G* ἔχῃ *P* — 20. παρὰ] ἡ παρὰ *G*, om. *P*

γ, δ, ϛ

ἢ πάλιν

β, γ, ϛ·

ὁ γὰρ ϛ τοῦ δ τῷ αὐτοῦ τρίτῳ ὑπερέχει, τρίτον γὰρ τοῦ ϛ τὰ β, καὶ ὁ γ τοῦ δ λείπεται τῷ αὐτοῦ τρίτῳ. τοῦ γὰρ γ τρίτον μονάς· ἐπὶ μὲν γὰρ τοῦ προτέρου ὑποδείγματος οἵ τε ἄκροι ἐν διπλασίῳ λόγῳ καὶ αἱ τούτων πρὸς τὸν μέσον διαφοραὶ πάλιν ἐν τῷ αὐτῷ διπλασίονι πρὸς ἀλλήλας, ἐν δὲ τῷ δευτέρῳ ἑκατέρα ἐν τριπλασίῳ.

2 Ἰδίωμα δὲ ἔχει ὑπεναντίον, ὡς προέφαμεν, τῷ κατὰ τὴν ἀριθμητικήν· ἐκεῖ μὲν γὰρ ἐν τοῖς ἐλάττοσιν ὅροις μείζονες ἦσαν οἱ λόγοι, ἐλάττονες δὲ ἐν τοῖς μείζοσιν, ὧδε δὲ ἀνάπαλιν οἱ μὲν ἐν τοῖς μείζοσι μείζονες, οἱ δὲ ἐν τοῖς ἐλάττοσιν ἐλάττονες, ἵνα ὡς ἐν μεσότητι ἀμφοῖν τῇ γεωμετρικῇ εἰκότως ἡ τῶν ἑκατέρωθι λόγων ἰσότης μεταίχμιον οὖσα τοῦ μεί-
3 ζονος καὶ τοῦ ἐλάττονος ἐνθεωρῆται. ἔτι ἐν μὲν τῇ ἀριθμητικῇ ὁ μέσος ἑαυτοῦ μέρει τῷ αὐτῷ μείζων τε καὶ ἐλάττων τῶν ἑκατέρωθι φαίνεται, αὐτῶν δὲ ἐκείνων ἄλλῳ καὶ ἄλλῳ μείζων ἢ ἐλάττων, ἐν δὲ τῇ ἁρμονικῇ ταύτῃ ὑπεναντίως· ἑαυτοῦ μὲν γὰρ ὁ μέσος ἑτέρῳ τε καὶ ἑτέρῳ μείζων τε καὶ ἐλάττων τῶν ἑκατέρωθί ἐστιν, αὐτῶν δὲ ἐκείνων τῶν ἑκατέρωθι

---

3. β, γ, ϛ] καὶ ὅταν τῷ αὐτῷ μέρει ἑαυτοῦ ὁ μείζων τοῦ μέσου ὑπερέχῃ, ὁ δὲ ἐλάττων ὑπερέχηται add. *C* — 4. αὐτῷ *G* αὐτοῦ *PH* — 5. αὐτοῦ *GPH* — 9. διπλασίῳ *CS* — 10. ἐν τῷ τριπλ. *P*

XXV. 2. α^{ον} ἴδιον inscr. *G* — 11. προέφημεν *C* — 12. ἐν τῷ *S* — 14. ὧδε] ἐνθάδε *S* — 15. ὡς om. *C* — 17. ἑκατέρων *S* — 18. συνθεωρῆται *CH* — 21. ἐκείνων] τῶν ὅρων τῶν add. *P* τῶν ἄκρων *C* — ἄλλῳ μέρει καὶ ἄλλῳ *CS* — 23. τε bis om. *P* — 24. ἑκατέρωθεν bis *SH* — ἐκείνων om. *H* — τῶν om. *GP*

*πάντως τῷ αὐτῷ, ἤτοι γὰρ ἑκατέρων ἡμίσει ἢ ἀμ-
φοτέρων τρίτῳ· ἡ δὲ γεωμετρικὴ ὡς ἐν μεταιχμίῳ
ἀμφοῖν οὔτε ἐν τῷ μέσῳ μόνον οὔτε ἐν τοῖς ἄκροις
μόνον, ἀλλὰ καὶ ἐν ἀμφοτέροις, μέσῳ καὶ ἄκρῳ. ἔτι* 4
*ἡ ἁρμονικὴ ἔχει ἴδιον συμβεβηκὸς τὸ τοὺς ἄκρους
συντεθέντας καὶ πολυπλασιασθέντας ὑπὸ τοῦ μέσου
διπλάσιον ἀποτελεῖν τοῦ ἐξ ἀλλήλων πολυπλασια-
σμοῦ. ἐκλήθη δὲ ἁρμονικὴ ἡ τοιαύτη μεσότης, ὅτι ἡ* 5
p 71 *μὲν ἀριθμητικὴ ποσῷ διεκρίνετο ἰσότητα κατὰ τοῦτο
ἐν τῇ τῶν ὅρων διαστάσει πρὸς ἀλλήλους παρεχο-
μένη, ἡ δὲ γεωμετρικὴ ποιότητι τὰς σχέσεις ὁμοίας
κατὰ τὸ ποιὸν τῶν ὅρων πρὸς ἀλλήλους ἀποδιδοῦσα,
αὕτη δὲ κατὰ τὸ πρὸς ἕτερόν πως ἐν ἑτέροις καὶ
ἑτέροις εἴδεσι φανταζομένη· οὔτε γὰρ ἐν ὅροις μόνον
οὔτε ἐν διαφοραῖς μόνον, ἀλλ' ἐκ μέρους μὲν ἐν
ὅροις, ἐκ μέρους δὲ ἐν διαφοραῖς· ὡς γὰρ ὁ μέγιστος
πρὸς τὸν ἐλάχιστον, οὕτω καὶ ἡ τοῦ μεγί-
στου διαφορὰ πρὸς τὸν παρ' αὐτὸν μέσον πρὸς
τὴν τοῦ ἐλαχίστου πρὸς τὸν αὐτὸν μέσον καὶ ἀνά-
παλιν.*

1. *ἑκατέρων*] *ἀμφοτέρων* H — 3. *τῷ* om. GPC — 4. *καὶ ἐν* om. H *ἅμα* add. GPC — 8. *ἡ τοιαύτη* om. S — 11. *ὁμοίως* H — 13. *ἑτέροις καὶ* om. P — 14. *φανταζομένη*] haecce addit P: *ἐφεξῆς πάντων κατὰ συνέχειαν κειμένων τῶν ἀριθμῶν ἀεὶ ὁ δεύτερος τοῦ πρὸ αὐτοῦ, ὑπερέχει μονάδι· ὁ δύο, τοῦ ἑνός· ὁ γ¯, τοῦ β¯· ὁ δ¯, τοῦ γ¯. λόγοι δέ, οὐχ οἱ αὐτοί· ὁ μὲν γὰρ δ¯, τοῦ γ¯ ἐϛιν ἐπίτριτος· ὁ δὲ γ¯, τοῦ β¯ ἡμιόλιος· ὁ δὲ δύο, τῆς μονάδος διπλάσιος. οὔτε κτλ.* — 16. *ὁ μέγιστος*] *ὁ μείζων* GP — 18. *πρὸς ... μέσον*] *πρὸς αὐτὸν τὸν μέσον* S *πρὸς τὴν παρ' αὐτόν*, superscr. *μέσον* S — 18. 19. *πρὸς τὴν ... ἀνάπαλιν*] *πρὸς τὴν τοῦ μέσου διαφορὰν παρὰ τὸν ἐλάχιστον* H — 19. *μέσον* om. C

XXVI *κϛ*. Τὸ δὲ πρός τι ἐπέγνωμεν ἐν τῇ τοῦ ὄντος ἀνωτέρω φρασθείσῃ διαιρέσει τῆς ἁρμονικῆς ἴδιον θεωρίας, ἀλλὰ καὶ οἱ μουσικοὶ τῶν ἐν ἁρμονίᾳ συμφωνιῶν λόγοι ἐν ταύτῃ μᾶλλον εὑρίσκονται τῇ μεσότητι· στοιχειωδέστατος μὲν ὁ διὰ τεσσάρων ἐν ἐπιτρίτῳ λόγῳ, ὡς δ πρὸς γ, ὅρος πρὸς ὅρον ἐν τῷ κατὰ τὸν διπλάσιον ὑποδείγματι ἢ διαφορὰ πρὸς διαφορὰν ἐν τῷ κατὰ τὸν τριπλάσιον, τοῦ γὰρ ϛ πρὸς β ἢ πάλιν τοῦ ϛ πρὸς γ αὗται αἱ διαφοραί· μετὰ δὲ τοῦτον εὐθὺς ὁ διὰ πέντε ὑπάρχων ἡμιόλιος τοῦ γ πρὸς β ἢ πάλιν τοῦ ϛ πρὸς δ, ὅρου πρὸς ὅρον· εἶτα τούτων ἀμφοτέρων σύστημα τοῦ τε ἡμιολίου καὶ τοῦ ἐπιτρίτου ὁ διὰ πασῶν ἐφεξῆς αὐτοῖς κείμενος, ἐν διπλασίῳ ὑπάρχων λόγῳ, ὡς ϛ πρὸς γ ἐν ἀμφοτέροις ὑποδείγμασιν, ὅρος πρὸς ὅρον· ἢ ὁ ἐπὶ τούτῳ διὰ πασῶν ἅμα καὶ διὰ πέντε, τριπλάσιον σώζων ἀμφοτέρων ἅμα τὸν λόγον, σύστημα ὑπάρχων διπλασίου ἅμα καὶ ἡμιολίου, ὥσπερ τοῦ ϛ πρὸς β, ὅρου πρὸς ὅρον, ἐν τῷ κατὰ τὸν τριπλάσιον ὑποδείγ-

XXVI. Io. Phil. rec. I, ρα—ρζ; rec. II, ξα. — Iambl. p. 152—157. — Boëth. II. 37. — Scholia cod. Ciz.

XXVI. 1. Ὁ δὲ *P* — 2. ἀνώθερον *P* ἀνώτερον *SH* — 3. μουσικὴ *G* — 4. μάλιστα *CSH* — μεσότητι] ὥστε καὶ διὰ ταῦτ᾽ ἂν εὐλόγως ἁρμονικὴ ὀνομάζοιτο add. *C* — 5. στοιχειωδέστατοι *H* — τεσσάρων] ὧν add. *C* — 6. λόγῳ] ὄντες add. *H* — 7. ἢ] ἡ *P* — 8. τὸν τριπλ. scripsi pro τὸ τρ. — 9. 11. πάλιν bis om. *S* — 12. εἶτα] εἰ *G* — 12. 13. τοῦ τε . . . ἐπιτρίτου om. *CH* — 13. αὐτὸς *G* — 15. παραδείγμασιν *C*, in mrg. ὑποδ. — ὅροις πρ. ὅρ. *P* ὅρου πρ. ὅρ. *CSH* — ἢ ὁ] ὁ δὲ *S* εἶτα ὁ *H* — 16. τούτων *G* — διὰ πεμπτὸν *G* — τριπλ.] διπλάσιον σώζων λόγον *C* — 17. σώζ. τὸν λόγον ἀμφοτέρου *H* τῶν λόγων *C* 18. ἅμα post διπλ. om. *SH* — 19. πρὸς ὅρον Ast. recte addidit, qui cur ὅρον pro ὅρου ex cod. *S* receperit, non adparet. ὅρων *H* — διπλάσιον G_1
τρι G_2

ματι, καὶ πάλιν διαφορᾶς πρὸς διαφορὰν ἐν τῷ αὐτῷ, ἐν δὲ τῷ κατὰ τὸν διπλάσιον ὅρου μεγίστου πρὸς διαφορὰν αὐτοῦ καὶ τοῦ μέσου ἢ διαφορᾶς τῶν ἄκρων πρὸς διαφορὰν τῶν ἐλαττόνων· τελευταῖον δὲ καὶ μέγιστον σύμφωνον τὸ λεγόμενον δὶς διὰ πασῶν ὡςανεὶ δὶς διπλάσιον, ὑπάρχον δὲ ἐν λόγῳ τετραπλασίῳ, ὡς ὁ μέσος ὅρος τῆς ἐν διπλασίοις πρὸς τὴν P 72 τῶν ἐλαττόνων διαφορὰν ἢ ἡ τῶν ἄκρων διαφορὰ τῆς ἐν τριπλασίοις πρὸς τὴν τῶν ἐλαττόνων.

2 Τινὲς δὲ αὐτὴν ἁρμονικὴν καλεῖσθαι νομίζουσιν ἀκολούθως Φιλολάῳ ἀπὸ τοῦ παρέπεσθαι πάσῃ γεωμετρικῇ ἁρμονίᾳ, γεωμετρικὴν δὲ ἁρμονίαν φασὶ τὸν κύβον ἀπὸ τοῦ κατὰ τὰ τρία διαστήματα ἡρμόσθαι ἰσάκις ἴσα ἰσάκις· ἐν γὰρ παντὶ κύβῳ ἥδε ἡ μεσότης ἐνοπτρίζεται, πλευραὶ μὲν γὰρ παντὸς κύβου εἰσὶν ιβ, γωνίαι δὲ η, ἐπίπεδα δὲ ϛ· μεσότης ἄρα ὁ η τῶν ϛ καὶ τῶν ιβ κατὰ τὴν ἁρμονικήν· ὡς γὰρ οἱ ἄκροι πρὸς ἀλλήλους, οὕτως ἡ τοῦ μεγίστου παρὰ τὸν μέσον διαφορὰ πρὸς τὴν τοῦ μέσου παρὰ τὸν ἐλάχιστον διαφοράν, καὶ πάλιν ὁ μέσος ἄλλῳ μὲν ἑαυτοῦ μέρει μείζων ἐστὶ τοῦ ἐλάττονος, ἄλλῳ δὲ ἐλάττων τοῦ μείζονος, ἑνὶ μέντοι καὶ τῷ αὐτῷ αὐτῶν τῶν ἄκρων μέρει καὶ μείζων καὶ ἐλάττων ὑπάρχει· καὶ ἑτέρως

---


2. διπλάσιον] ὑποδείγματι add. *H* — 4. πρὸς διαφορᾶς *G* -ὰς *P* — 6. ὑπάρχων *GP* — 7. τῆς ἐν διπλ.] ἁρμονίας intellegendum esse docet Io. Phil. I, ϱ. τοῦ ἐν διπλασίῳ scil. παραδείγματος Ast. — 7. 8. τὴν ἐλάττονα *H* — 8. διαφορὰν] τοῦ τε ἐξ ἡμιολίου καὶ τοῦ ἐξ ἐπιτρίτου add. *GP* τοῦ ἐξ ἡμ. καὶ ἐπιτρ. *CSH*, quae librariorum incuria ex scholio quodam in textum inrepsisse adparet; ignorant Io. Phil. et Boëth. — ἡ om. *P* — 9. τοῦ ἐν τριπλασίῳ Ast. — 13. τὰ om. *SH* — τρία om. *PC* — ὁρμᾶσθαι *S* — 14. μεσότης] πάντως add. *S* — 21. μεῖζον *G* — ἐλαχίστου . . . ἐλάχιστος *S* —

οἱ ἄκροι συντεθέντες καὶ ὑπὸ τοῦ μέσου πολυπλασιασθέντες διπλάσιον ἀποτελοῦσι τοῦ ὑπὸ τῶν ἄκρων πρὸς ἀλλήλους γινομένου· καὶ ἡ μὲν διὰ τεσσάρων ἐστὶ τοῦ η πρὸς τὸν ϛ, ἐπίτριτος γάρ, ἡ δὲ διὰ πέντε τοῦ ιβ πρὸς τὸν η, ἡμιόλιος γάρ, ἡ δὲ διὰ πασῶν ἀμφοῖν οὖσα σύστημα ἡ τοῦ ιβ πρὸς τὸν ϛ, διπλασία γάρ, ἡ δὲ διὰ πασῶν ἅμα καὶ διὰ πέντε τριπλάσιος οὖσα ἡ τῶν ἄκρων διαφορὰ ὑπάρχει πρὸς τὴν τῶν ἐλαττόνων, ἡ δὲ δὶς διὰ πασῶν ὁ μέσος ὅρος πρὸς τὴν ἑαυτοῦ καὶ τοῦ ἐλάττονος διαφοράν· οἰκειοτάτως ἄρα ἁρμονικὴ προςωνομάσθη.

XXVII κζ. Ὥςπερ δὲ ἐν τῇ τοῦ μουσικοῦ κανόνος κατατομῇ χορδῆς μιᾶς τεταμένης ἢ αὐλοῦ μήκους ἑνὸς ἐκκειμένου τῶν ἄκρων ἀμετακινήτων ὑπαρχόντων, μεταλαμβανούσης δὲ τῆς μεσότητος ἐν μὲν τῷ αὐλῷ

XXVII. Io. Phil. rec. I, ρη—ριζ; rec. II, ξβ—ξϛ. — ambl. p. 157—159. — Boëth. II, 38. — Scholia cod. C

1. πολλαπλ. C — 3. διὰ τοῦ ε P — 6. διάστημα H, in mrg. σύστ. — πρὸς ϛ G — 7. τριπλασίων S — 9. ἐλαττόνων] ἐλαχίστων C — 10. διαφοράν] reperiuntur in codicibus schemata quaedam, quorum plenissimum cod. C adponit:



— οἰκειότατα PCSH — 11. ὠνομάσθη CSH

8

XXVII. 13. αὐλικοῦ P — 14. ἐκκειμένον G — ἀμετακινήτου P

διὰ τρυπημάτων, ἐν δὲ τῇ χορδῇ δι' ὑπαγωγέως,
ἄλλον ἐξ ἄλλου τρόπον ἀποτελεῖσθαι δύνανται αἱ
προλεχθεῖσαι μεσότητες, ἀριθμητική τε καὶ γεωμε-
τρικὴ καὶ ἁρμονική, ἵνα εἰκότως καὶ ἐτυμώτατα κα-
λοῖντο διὰ τὴν τοῦ μέσου ὅρου μετάστασίν τε καὶ
μεταγωγὴν διαφόρως συντελούμεναι, οὕτως καὶ ἐν
ἀριθμητικοῖς δυσὶν ὅροις, εἴτε περισσοῖς ἀμφοτέροις
εἴτε καὶ ἀρτίοις, εὔλογόν ἐστι καὶ ἅμα δυνατὸν μέ-
νουσιν ἐν τῷ αὐτῷ καὶ μὴ μεταβιβαζομένοις μεσό-
p τητα καθ' ἑκάστην τῶν τριῶν ἐφαρμόζουσαν ἐντάσ-
73 σεσθαι· κατὰ μὲν ἀριθμητικὴν ἴσῳ ὑπερέχουσαν
καὶ ὑπερεχομένην, κατὰ δὲ γεωμετρικὴν ὁμοίῳ λόγῳ
διαφορουμένην, κατὰ δὲ ἁρμονικὴν τῷ αὐτῷ μέρει
τῶν ἄκρων τῶν αὐτῶν μείζονά τε καὶ ἐλάτ-
τονα. προκείσθωσαν δὴ πρῶτον ἄρτιοι ὅροι δύο, ὧν 2
μεταξὺ αἱ τρεῖς μεσότητες ζητητέον πῶς ἂν ταγεῖεν
καὶ τίνες, καὶ ἔστωσαν

ὅ τε ι καὶ ὁ μ.

πρῶτον οὖν τὴν ἀριθμητικὴν ἐναρμόζω καὶ ἔστιν 3
κε καὶ τὰ παρακολουθήματα αὐτῆς σώζεται πάντα
κἀνταῦθα· ὡς γὰρ ἕκαστος ὅρος πρὸς ἑαυτόν, οὕτω
καὶ διαφορὰ πρὸς διαφοράν, ἄρα ἐν ἰσότητι, καὶ ὅσῳ
ὁ μείζων τοῦ μέσου, τοσούτῳ καὶ οὗτος τοῦ ἐλάτ-
τονος ὑπερφέρει, καὶ ἡ τῶν ἄκρων σύνθεσις διπλα-
σία τοῦ μέσου καὶ ὁ τῶν ἐλαττόνων ὅρων λόγος

---

3. προλεχθεῖσαι] τρεῖς add. *CSH* — 4. ἑτοιμότατα *GP* ἐτυμώτ. μεσότητες καλ. *H* — 5. ὅρου om. *S* — μετάστασιν] μετάβασιν *S* — 8. ἀρτίοις] add. ἀμφοτέροις add. *SH* — 10. ἐφαρμόζουσα *P* — 13. διαφορουμένην] ἀδιαφορ. Ast. διαφορουμένην ἀντὶ τοῦ ἑτερουμένην· . . . ὁ λόγος γὰρ ὁ αὐτὸς τῶν εἰρημένων, ἀλλὰ τὸ ποσὸν διάφορον. Schol. Ciz. cf. Io. Phil. I, ρια. — 13. τὸν αὐτὸν *CH* τὴν αὐτὴν *S* — 15. πρῶτον οἱ ὅροι *P* — 16. ζητητέαι *C* — 22. ἄρα *GP* καὶ γὰρ *C* om. *SH* — 25. ὤρων *G*

μείζων τοῦ τῶν μειζόνων καὶ τὸ ὑπὸ τῶν ἄκρων
ἔλαττον τοῦ ἀπὸ τοῦ μέσου τῷ ἀπὸ τῶν διαφορῶν
τετραγώνῳ, καὶ ὁ μέσος τῷ αὐτῷ ἰδίῳ μέρει καὶ
μείζων ὑπάρχει καὶ ἐλάττων τῶν ἄκρων, ἐν δὲ τοῖς
4 *ἄκροις θεωρουμένῳ ἑτέρῳ καὶ ἑτέρῳ. ἐὰν δὲ τὴν κ*
μεσότητα ἐμβάλλω εἰς τοὺς προκειμένους ἀρτίους
ὅρους, τὰ τῆς γεωμετρικῆς ἰδιώματα ἀνακύπτει, ἐξα-
πόλλυνται δὲ τὰ τῆς ἀριθμητικῆς· οἷος γὰρ ὁ μείζων
